Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλ. 0,18, περὶ τελευτῶσαν τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 327. Περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς Ζ' Καθολικὰς Ἐπιστολὰς Ἰακώβου, Πέτρου, Ἰωάννου καὶ Ἰούδα, τὰς ΙΔ' τοῦ Παύλου καὶ τὴν Ἀποκάλυψιν τοῦ Ἰωάννου καταλήγουσαν εἰς τὸ κεφάλαιον ΙΗ', ἐδάφ. 22, τῶν λοιπῶν φύλλων ἐκρυέντων. Ἔχει δὲ καὶ τὰ ἀρχαῖα σημαδόφωνα καί τινα κοσμήματα ποικιλόχροα καὶ χρυσόπαστα ἐν ταῖς ἀρχαῖς τῶν περιεχομένων.

92.

Τεῦχος περγαμηνόν μήκ. 0,13, πλ. 0,10, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 277. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον. Ἐν ἀρχῇ φέρεται ἡ πρὸς Καρπιανὸν Ἐπιστολὴ Εὐσεβίου τοῦ Παμφίλου, μεθ' ἣν οἱ Κανόνες αὐτοῦ, τὰ Κεφάλαια τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου καὶ ἐπιπλέον τὸ ἑξῆς ἀγνώστου ἡμῖν ἄλλοθεν συγγραφέως:

«Ἐπιδιαίρεσις ἀκριβὴς καὶ ἄπταιστος τῶν ἐγκειμένων ἀριθμῶν ἐν τοῖς δέκα κανόσι· τῶν Δ' ἁγίων Εὐαγγελίων ἡ γενομένη παρὰ Θεοφάνους Γραμματικοῦ τοῦ Κρατριανοῦ.

Εὐσέβιος μὲν ὁ τῆς εὐσεβείας ἐπώνυμος, ἀφορμῆς δραξάμενος ἐκ τῆς τοῦ Ἀμμωνίου τοῦ Ἀλεξανδρέως πονηθείσης Ὑποτυπώσεως περὶ τὸ κατὰ Ματθαῖον ἅγιον Εὐαγγέλιον, τοὺς δέκα κανόνας τῶν τεσσάρων ἁγίων Εὐαγγελίων εὐτέχνως ἅμα καὶ ἀκριβῶς διεχάραξεν, ὡς αὐτὸς μαρτυρεῖ γράφων Καρπιανῷ, καὶ διὰ τῶν παρεγκειμένων ἀριθμῶν ἑκάστῳ κανόνι σαφῶς ἐδήλωσεν ὅσοι τε τῶν ἁγίων θεηγόρων καὶ Εὐαγγελιστῶν καὶ ὅπου καὶ ὅπως ἐν οἱαδήτινι ὑποθέσει τὰ παραπλήσια εἰρήκασι. Καὶ ἦν μὲν τὸ τοιοῦτον πόνημα σαφέστερον, καὶ εὐδιάλυτον, καὶ ἄριστα διευκρινημένον· ἀλλ' οἱ πολλοὶ τῶν τὴν θείαν βίβλον τῶν ἁγίων Εὐαγγελίων μεταγράφοντες [γρ. μεταγραφόντων], ἀπροσεξίᾳ κρατούμενοι, καὶ ἁπλῶς καὶ ὡς ἔτυχε ταύτῃ ἐγκύπτοντες, τοὺς ἐν τοῖς δέκα κανόσιν ἀριθμοὺς εἰς ἄπειρον παρεξέτεινον καὶ συνέχεον· πῇ μὲν ὑπερβολάς τε καὶ πολλαπλασιασμοὺς τούτοις ἐνθέμενοι, πῇ δὲ ἐλλείψεις ἢ καὶ ἄλλους ἀντ' ἄλλων κατὰ πολλὴν ἄδειαν ἐγχαράξαντες. Τούτοις οὖν ἐγὼ σπουδαιότερον ἐντυχὼν καὶ ἀκριβῶς περιεργασάμενος, πολλά τε τῶν ἀντιγράφων συναγαγὼν καὶ κατ' οὐδὲν ἰσάζοντα θεασάμενος, τῇ πλάνῃ δὲ τῶν γραφέων πάντα διεφθαρμένα, καὶ ἀλληνάλλως εὑρὼν ἔχοντα, δεῖν ἔγνων τῷ ὕφει τῶν τεσσάρων ἁγίων Εὐαγγελίων προσσχεῖν, κἀκεῖθεν τοὺς ἐγκειμένους ἀριθμοὺς ἑκάστῳ τῶν Εὐαγγελιστῶν ἐπιλέξασθαι, καὶ τὴν ἀλήθειαν γνῶναι· οὗ δὴ γεγονότος, καὶ τῆς ἀληθείας βεβαίως διαφωτισθείσης, ἐκεῖνοι μόνοι τῶν ἀριθμῶν ἐν τῇ παρούσῃ Ὑποτυπώσει τῶν δέκα κανόνων ἐνεχαράχθησαν, οὓς ἄρα καὶ ὁ κατ' ἀρχὰς τούτους εὐμεθόδως καὶ εὐφυῶς ποιήσας Εὐσέβιος ὑπεσημειώσατο, ὅσοι δηλαδὴ καὶ ποῖοι καὶ τίσι ῥητοῖς διὰ τοῦ πρώτου κανόνος τῷ ἁγίῳ Ματθαίῳ ἐνεχαράχθησαν, καὶ ὅσοι ἐν τῷ αὐτῷ κανόνι τῷ ἁγίῳ Μάρκῳ· πρὸς δὲ καὶ ὅσοι τῷ ἁγίῳ Λουκᾷ, καὶ ὅσοι

ὡσαύτως τῷ ἁγίῳ Ἰωάννῃ· καὶ καθεξῆς κἂν τοῖς ἄλλοις κανόσιν ἡ αὐτὴ διαίρεσις καὶ ὑποτύπωσις γέγονεν ἀκριβῶς τε καὶ φιλαλήθως, ἐκδιωχθείσης πάσης ὑπερβολῆς καὶ ἐλλείψεως. Ὁ τοίνυν φιλοπόνως ἐντυγχάνων τῇ παρούσῃ τῶν κανόνων Ὑποτυπώσει, ἴστω σαφῶς ὡς οὐδὲν περιττὸν ἢ ἐλλιπὲς ἐν τούτοις εὕρηται, ἀλλὰ καὶ τοῖς βουλομένοις ἔν τισι τῶν μεταγραφομένων βιβλίων ἐγγράψαι τὴν τῶν κανόνων Ὑποτύπωσιν, ἀπὸ ταύτης τὸ ἀπλανὲς καὶ ἀσφαλὲς περιποιηθήσεται.

93.

Τεῦχος περγαμηνὸν μήκ. 0,22, πλ. 0,16, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 185. Περιέχει τὸ διὰ τεσσάρων Εὐαγγέλιον ἔχον καὶ τὰς εἰκόνας τῶν Εὐαγγελιστῶν, πλὴν τῆς τοῦ Ματθαίου. Χεὶρ δὲ καλλιτέχνου ἐγκατέμιξε μεταξὺ τοῦ κειμένου εἰκόνια εἴκοσιν ἐν μικρογραφίᾳ καὶ ἐπὶ διαχρύσου δαπέδου, εἰς τὴν εὐαγγελικὴν ἱστορίαν ἀναφερόμενα.

94.

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλ. 0,21, περὶ τελευτῶσαν τὴν Θ' ἢ ἀρχομένην τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 300. Περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς Ζ' Καθολικὰς Ἐπιστολὰς, τὰς ΙΔ' τοῦ Παύλου, μετὰ καὶ περιλήψεως τῶν κεφαλαίων καὶ τῆς Ὑποθέσεως ἑκάστης, ἐνιαχοῦ δὲ καὶ Προλόγου, καὶ τελευταῖον τὴν Ἀποκάλυψιν τοῦ Ἰωάννου. Λείπουσιν ἱκανὰ ἐκ τῆς ἀρχῆς καὶ τοῦ τέλους.

95.

Τεῦχος περγαμηνὸν μήκ. 0,28, πλ. 0,20, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 163, ἀλλ' ἐλλιπέστατον ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει· κατὰ γὰρ τὴν τῶν τετραδίων ἀπαρίθμησιν ἐκ μὲν τῆς ἀρχῆς ἐξερρύησαν φύλλα 167, ἐκ δὲ τοῦ τέλους ἄδηλον πόσα. Περιέχει τὴν εἰς τὸ κατὰ Ἰωάννην καὶ τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον Ἑρμηνείαν Τίτου τοῦ ἐπισκόπου Βόστρων καὶ ἄλλων Πατέρων. Ἐν τῷ προσθίῳ ἐξωφύλλῳ φέρονται τὰ ἑξῆς σημειώματα : «Τῶ παρὼν ἄγιων Εὐαγέλιον, ὕπαρχι, καμοὺ, Καλλινίκου, ἀρχιέποισκόπου, Αἰγίνης, τοῦ Πελωπωνισίου, καὶ ἔσυναριχμηθη, μετὰ τῶν λοῖπῶν, βιβλίων· ᾳχϟγ' Ἰανουαρίου 20. Ὁ ἀρχιεπίσκοπος Αἰγίνης Καλλίνικος καὶ εὐχέτης.—Εἴς τοῦς ᾳχϟϛ' ἐν μηνη Ἰουλίου. 10» ἦλθεν ὅ Ράλης ἀπὸ τῶν Μόρεα, καὶ τῶν ἔβαλα εἴς τα γράμματα, 1696, ὁ Αἰγίνης Καλλίνικος.—1696 Ἰουλίου 12 ἦλθεν ὁ Λημπέριος μετὰ τοὺς χρίστιανοῦς». Ἐκ δωρεᾶς τοῦ κ. Χρ. Γ. Ῥάλλη.

96.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,31, πλ. 0,22, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 319. Περιέχει τὴν εἰς τὰς ΙΔ' Ἐπιστολὰς τοῦ Παύλου Ἑρμηνείαν Θεοφυλάκτου τοῦ Βουλγαρίας· ἀλλ' ἐκ τῆς ἀρχῆς ἐξερρύη τὸ πρῶτον φύλλον.

97.

Τεῦχος περγαμηνὸν μήκ. 0,32, πλ. 0,22, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 136, ἐλλιπέστατον δὲ ἐν τῇ

ἀρχῇ καὶ τῷ τέλει. Περιέχει τὰ ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκόμενα Εὐαγγέλια μετὰ σημαδοφώνων.

98.

Τεῦχος περγαμηνὸν μήκ. 0,31, πλ. 0,21, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων 223 συγκείμενον, ἐλλιπὲς δ' ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει : α') Χρυσοστόμου Ἑρμηνείαν εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον μετὰ σχολίων ἐνιαχοῦ περὶ τὴν τοῦ τεύχους ᾤαν.—β') τοῦ αὐτοῦ Χρυσοστόμου Ἑρμηνείαν εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον,—καὶ γ') Τίτου ἐπισκόπου Βόστρων καὶ ἄλλων τινῶν Ἑρμηνείαν εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον.

99.

Τεῦχος περγαμηνὸν μήκ. 0,25, πλ. 0,19, περὶ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 24. Ἔστι λείψανον τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου ἐκ τῆς ἀρχῆς μέχρι τοῦ κεφαλ. ς', ἐδαφ. 13.

100.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 18, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 377, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει Ἑρμηνείαν εἰς τὰς Ἐπιστολὰς τοῦ Παύλου, εἰς Θεοδώρητον μὲν ἀναφερομένην, οὐκ οὖσαν δὲ τούτου, ἀλλὰ μᾶλλον Οἰκουμενίου καὶ ἄλλων. Ἀσχέτως δὲ συνεδέθησαν ἐν τῇ ἀρχῇ τοῦ τεύχους 44 φύλλα γεγραμμένα κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα καὶ περιλαμβάνοντα ἱστορίαν ἐκ τῆς Κεδρηνοῦ Συνόψεως.

101.

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλ. 0,18, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων 169 συγκείμενον, ἐλλιπὲς δ' ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένας περικοπὰς ἐκ τῶν Πράξεων καὶ τῶν Ἐπιστολῶν τῶν Ἀποστόλων.

102.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,16, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 229 συγκείμενον. Περιέχει καὶ τοῦτο τὰ αὐτὰ τῷ ἀνωτέρω.

103.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,23, πλ. 0,16, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 199 συγκείμενον. Καὶ τοῦτο περιέχει τὰ αὐτὰ τῷ ἀνωτέρω.

104.

Τεῦχος περγαμηνὸν μήκ. 0,25, πλ. 0,20, κατὰ τὸ ,ςψπε' (+1277) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 171. Περιέχει τὰς περικοπὰς τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένων Εὐαγγελίων.

105.

Τεῦχος περγαμηνὸν μήκ, 0,25, πλ. 0,19, οὗ τὰ μὲν πρῶτα 8 φύλλα εἰσὶ γραφῆς τῆς ΙΔ' ἑκατονταετηρίδος, τὰ δὲ λοιπὰ πάντα τῆς Ι'. Σύγκειται ἐκ φύλλων 293 καὶ περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς Ζ' Καθολικὰς ἐπιστολὰς Ἰακώβου, Πέτρου, Ἰωάννου καὶ Ἰούδα, καὶ ΙϚ' Ὁμιλίας τοῦ Χρυσοστόμου εἰς τὰς Πράξεις τῶν Ἀποστόλων. Ἡ δὲ Ὑπό-

θεσις τῆς Ἰακώβου Ἐπιστολῆς πάντη ἐστὶ διάφορος τῆς ἐκδεδομένης.

106.

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλ. 0,18, περὶ τελευτῶσαν τὴν ΙΔ′ ἢ ἀρχομένην τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 243, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένας περικοπὰς ἔκ τε τῶν Πράξεων καὶ τῶν Ἐπιστολῶν τῶν Ἀποστόλων.

107.

Τεῦχος περγαμηνὸν μήκ. 0,9, πλ. 0,7, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα λεπτεπιλέπτοις γράμμασι κεκαλλιγραφημένον, ἐκ φύλλων δὲ συγκείμενον 145, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει τὸ διὰ τεσσάρων Εὐαγγέλιον μετὰ τῆς Ἀποκαλύψεως τοῦ Ἰωάννου καί τινων ἐκλογῶν ἀπό τε τῶν Προφητῶν καὶ τῆς Γενέσεως. Ἐκ δωρεᾶς Δημητρίου Βερνάρδου.

108.

Τεῦχος περγαμηνὸν μήκ. 0,19, πλ. 0,13, κατὰ τὴν ΙΔ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 305 συγκείμενον. Περιέχει τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

109.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,15, πλ. 0,10, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 324 συγκείμενον. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

110.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλ. 0,15, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 197 συγκείμενον. Ἔστι τὸ διὰ τεσσάρων Εὐαγγέλιον. Ἔξωθεν τοῦ πρώτου πινακίου φέρει σταυρὸν ἀργυροῦν κατὰ τὸ ἥμισυ ἐφθαρμένον, καὶ ἐν ταῖς τέσσαρσι γωνίαις ἀπεικονίσματα ἁγίων ἐπίσης ἀργυρᾶ.

111.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,19, πλ. 0,14, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 223 συγκείμενον. Περιλαμβάνει τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

112.

Τεῦχος περγαμηνὸν μήκ. 0,19, πλ. 0,14, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 119 συγκείμενον. Περιέχει τὰς περικοπὰς τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένων Εὐαγγελίων.

113.

Τεῦχος περγαμηνὸν μήκ. 0,19, πλ. 0,14, κατὰ τὴν ΙΑ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 232 συγκείμενον. Περιέχει τὸ διὰ τεσσάρων Εὐαγγέλιον. Χεὶρ ὅμως βέβηλος ἐσύλησε τῶν Εὐαγγελιστῶν τὰς εἰκόνας.

114.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙΖ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 190 συγκείμενον. Περιέχει τὰς ἐκ τῶν Πράξεων καὶ τῶν Ἐπιστολῶν τῶν Ἀποστόλων ἀναγινωσκομένας ἐν τῇ Ἐκκλησίᾳ περικοπάς.

115.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,15, κατὰ τὸ ,ζπδ' (+1576) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 192, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Καὶ τοῦτο ὅμοιόν ἐστι τῷ ἀνωτέρω, πλὴν ὅτι ἐν τέλει τῶν Ἀποστόλων κατέταξεν ὁ ἀντιγραφεὺς τοὺς Μακαρισμοὺς τῶν ὀκτὼ ἤχων.

116.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,15, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 141 συγκείμενον. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς τῷ ἀνωτέρω περικοπάς.

117.

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλ. 0,14, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 366 συγκείμενον. Ἔστι τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

118.

Τεῦχος πέργαμηνὸν μήκ. 0,19, πλ. 0,15, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 230. Ἔστι καὶ τοῦτο τὸ διὰ τεσσάρων Εὐαγγέλιον, ἔχον καὶ τὰς εἰκόνας τῶν τεσσάρων Εὐαγγελιστῶν, Λατίνου καλλιτέχνου ἔργα, ὡς ἐκ τῶν ἐμφερομένων λατινικῶν γραμμάτων συμπεραίνεται.

119.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,25, πλ. 0,14, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 356 συγκείμενον. Περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς ΙΔ' Ἐπιστολὰς τοῦ Παύλου καὶ τὰς Ζ' Καθολικάς, Ἰακώβου, Πέτρου, Ἰωάννου καὶ Ἰούδα.

120.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 264, ἀλλ' ἐφθαρμένον ἐν τῷ τέλει. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

121.

Τεῦχος περγαγηνὸν μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 241 συγκείμενον. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον ἔχον καὶ σχόλια ἐρυθρόγραφα ἐν τοῖς πρώτοις ἑπτὰ φύλλοις καὶ ἐν τῷ μεταξὺ σποράδην.

122.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,15, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 269 συγκείμενον. Περιέχει τὸ διὰ τεσσάρων Εὐαγγέλιον, τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς Ζ' Καθολικὰς Ἰακώβου, Πέτρου, Ἰωάννου καὶ Ἰούδα, καὶ τὰς ΙΔ' τοῦ Παύλου. Ἐν τῷ προσθίῳ ἐξωφύλλῳ φέρεται τὸ ἑξῆς σημείωμα: αχπγ' επι ἔτους 1683 ἔγινε χειμόνας φοβερὸς καὶ εὔβρεξε απο τον οκτόβριον μίνα οπόται εσεβη καὶ εος τὸν δικέβριον· καὶ τὸν ιωνάριον εις ιε· επεσε χιονι ποιθαμαὶς επτά. καὶ εχηόνηζε. εος της ιζ. του φευρουαρίου. καὶ εκαμεν εις τον κάμπο ημερας μγ. οπου δεν εφάνει καὶ γης πάντελος.

123.

Τεῦχος περγαμηνὸν μήκ. 0,21, πλ. 0,15, κατὰ τὸ ,ϛχξγ' (+1145) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 189 συγκείμενον. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον ἔχον καὶ τὴν εἰκόνα τοῦ Εὐαγγελιστοῦ Λουκᾶ μόνον, βαναυσοτέχνου ἔργον.

124.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 0,22, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 174, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει τὰς περικοπὰς τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένων Εὐαγγελίων μετὰ σημαδοφώνων. Ἐκ προσφορᾶς τοῦ ἐκ Καλλιπόλεως Παντερμαλῆ.

125.

Τεῦχος περγαμηνὸν μήκ. 0,18, πλ. 0,12, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 280 συγκείμενον. Ἔστι τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

126.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλ. 0,15, γεγραμμένον κατὰ τὸ ,ζιβ' (+1504) ἔτος χειρὶ τοῦ ἱερομονάχου Εὐθυμίου, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 276 συγκείμενον. Περιέχει τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένας περικοπὰς τῶν Ἀποστόλων καὶ τοῦ Εὐαγγελίου.

127.

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλ. 0,15, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 171 συγκείμενον. Ἔστι τὸ διὰ τεσσάρων Εὐαγγέλιον ἔχον καὶ τὰς τῶν Εὐαγγελιστῶν εἰκόνας, πλὴν τῆς τοῦ Ματθαίου.

128.

Τεῦχος περγαμηνὸν μήκ. 0,17, πλ. 0,15, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 181 συγκείμενον. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

129.

Τεῦχος περγαμηνὸν μήκ. 0,15, πλ. 0,11, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 224 συγκείμενον. Περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς Ζ' Καθολικὰς Ἐπιστολὰς Ἰακώβου, Πέτρου, Ἰωάννου καὶ Ἰούδα, καὶ τὰς ΙΔ' τοῦ Παύλου.

130.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 324 συγκείμενον. Περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς Ζ' Καθολικὰς Ἰακώβου, Πέτρου, Ἰωάννου καὶ Ἰούδα, τὰς ΙΔ' Ἐπιστολὰς τοῦ Παύλου καὶ τὰ τέσσαρα Εὐαγγέλια.

131.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,24, πλ. 0,16, γεγραμμένον κατὰ τὸ ,ϛωγ' (+1295) ἔτος, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 195 συγκείμενον. Περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων ἐλλιπεῖς ἐν τῇ ἀρχῇ, τὰς ΙΔ' Ἐπιστολὰς τοῦ Παύλου, καὶ τὰς Ζ' Καθολικάς.

132.

Τεῦχος περγαμηνὸν μήκ. 0,16, πλ. 0,12, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 210 συγκείμενον. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον, ἐλλιπὲς ὅμως ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει.

133.

Τεῦχος περγαμηνὸν μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 348 συγκείμενον. Περιέχει τὰς ἐν τῇ Ἐκκλησίᾳ καθ' ὅλον τὸν ἐνιαυτὸν ἀναγινωσκομένας περικοπὰς τῶν Εὐαγγελίων καὶ τῶν Ἀποστόλων. Ἐν τῷ προσθίῳ φύλλῳ ἀπεικόνισται τὸ καλούμενον Τριμόρφιον, ἤγουν ὁ Ἰησοῦς ἔχων ἐκ δεξιῶν τὴν Θεοτόκον καὶ ἐξ ἀριστερῶν τὸν Πρόδρομον. Ὑποκάτωθεν δ' αὐτῶν ἐν κυκλικῷ σχήματι οἱ ἀρχάγγελοι Μιχαὴλ καὶ Γαβριὴλ, ὧν ἐν μέσῳ κεῖται ἡ ἱερὰ Τράπεζα πρὸς τέλεσιν τῆς θυσίας.

134.

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλ. 0,18, κατὰ τὴν ΙΓ' ἤγουν τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 250, ὧν τὰ πρῶτα 23 καὶ τὰ τέλευταῖα 5 εἰσὶν ἐκ χάρτου, προστεθέντα ἐν ὑστέροις ἀντὶ τῶν ἐκλιπόντων. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

135.

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλ. 0,18, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 150 συγκείμενον. Ἔστι τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

136.

Τεῦχος περγαμηνὸν μήκ. 0,13, πλ. 0,10, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 299 συγκείμενον Ἔστι δὲ καὶ τοῦτο τῷ ἀνωτέρῳ ὅμοιον Εὐαγγέλιον.

137.

Τεῦχος περγαμηνὸν μήκ. 0,17, πλ, 0,11, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 113 συγκείμενον. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον, ἐξ οὗ ἐξεῤῥύησαν ἐκ τῆς ἀρχῆς 2 φύλλα, ὡς καὶ ἀπὸ τοῦ Μάρκου πάντα τὰ ἀπὸ τοῦ κεφαλ. Η', 3, συμπεριλαμβανομένων καὶ τῶν Εὐαγγελιστῶν Λουκᾶ καὶ Ἰωάννου. Ἔχει δὲ καὶ τὴν εἰκόνα τοῦ Εὐαγγελιστοῦ Μάρκου ἡμίφθαρτον.

138.

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλ. 0,14, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 109 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει : Ἀδήλου Ἑρμηνείαν εἰς τὴν πρὸς Γαλάτας Ἐπιστολὴν τοῦ Παύλου, τὴν πρὸς Φιλιππησίους, καὶ πάλιν τὴν πρὸς Γαλάτας διαφόρως ἑρμηνευομένην, καὶ τὴν πρὸς Θεσσαλονικεῖς Α', καταλήγουσαν εἰς τὸν 3 στίχον τοῦ Β' κεφαλαίου.

139.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,16, πλ. 0,11, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 244, ἐλλιπὲς ὅμως τῆς τε ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει : Ἀδήλου Ἑρμηνείαν εἰς τὰ Εὐαγγέλια καὶ διάφορα ἄλλα. Ἐν τῷ τέλει ὑπάρχουσι δύο περγαμηνὰ φύλλα παλίμψηστα τῆς Η' ἑκατονταετηρίδος.

140.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,15, πλ. 0,10, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 333 συγκείμενον. Περιέχει Ὁμιλίας ἐν φράσει κοινῇ εἰς τὰ Εὐαγγέλια τοῦ Λουκᾶ, τὰ κατὰ τὰς κυριακὰς ἀναγινωσκόμενα.

141.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,14, κατὰ τὸ 1676 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει ἐκ φύλλων δὲ συγκείμενον 115. Περιέχει: Ἑρμηνείαν εἰς τὴν Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου ἐν φράσει κοινῇ.

142.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ 0,15, πλάτ. 0,11, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 233 συγκείμενον. Ἐπιγέγραπται οὕτω: Κεφάλαια ἐκ τῆς Ἀποκαλύψεως Ἰωάννου τοῦ Θεολόγου. Ἰστέον ὅτι ἡ ἅπασα Ἀποκάλυψίς ἐστι Λόγοι ΚΔ', καὶ ἐνταῦθά εἰσι λόγοι ΙΒ'. Εἰσὶν οἱ ἑρμηνεύσαντες ταύτην Γρηγόριος ὁ Θεολόγος, Κύριλλος Ἀλεξανδρείας, Εἰρηναῖος, Μεθόδιος Ἱεροσολύμων, Ἱππόλυτος Ῥώμης καὶ Ἀνδρέας Καισαρείας.—Ἀνδρέα Καισαρείας Κεφάλαια ἐξηγημένα ἐκ τῆς Ἀποκαλύψεως τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, πάντα κεφάλαια ΚΘ'.—Ὅπως τὸ βιβλιαρίδιον ἐκ τοῦ ἀγγέλου ὁ Εὐαγγελισμὸς εἴληφεν. Εἶθ' οὕτω: [Ματθαίου τοῦ Βλαστάρεως ;] Πραγματεία κατὰ Λατίνων, ἔχουσα τὴν στιχηρὰν τὴν δὲ ἐπιγραφήν:

«Ἔλεγχος ὧδε τῆς πλάνης τῶν Λατίνων
Θύτου παρ' οἰκτροῦ Ματθαίου Μονοτρόπου».

Μετ' αὐτὴν ἕπεται: Ἐκ τοῦ συντάγματος Γενναδίου ἀρχιεπισκόπου Βουλγαρίας πρὸς τοὺς λέγοντας ὅτι τὸ τοῦ πάπα ψιλὸν μνημόσυνον οὐδέν τι ἄρα βλάπτει (τὰ λοιπὰ ἐξίτηλα). Εἶθ' οὕτω: Συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῶν ἁγιωτάτων καὶ ὀρθοδόξων τῆς ἀνατολικῆς Ἐκκλησίας τριῶν πατριαρχῶν, Φιλοθέου Ἀλεξανδρείας, Δωροθέου Ἀντιοχείας καὶ Ἰωακεὶμ Ἱεροσολύμων περί τε τῆς ἐν Φλωρεντίᾳ γενομένης Ὀγδόης Συνόδου καὶ τῶν ὑπὸ τῶν λατινοφρόνων χειροτονηθέντων». Ἐπειδὴ δὲ τὸ ἡμέτερον χειρόγραφόν ἐστι πληρέστερον, ἔχον τε ὀρθὰς καὶ ἀπταίστους γραφὰς καὶ πολλὰ τὰ διαφέροντα τῆς ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ τοῦ Μελετίου (τόμῳ Γ', σελ. 300) ἐκδοθείσης, τούτου ἕνεκα ἐκδίδομεν αὐτὴν ὧδε, ἐκ παραλλήλου τιθέντες καὶ τὸ τοῦ Μελετίου κείμενον. Ἐν τέλει δὲ τάσσονται: Κεφάλαια περὶ βρωμάτων, ἤτοι περὶ τῆς ἰδιότητος τῶν διαφόρων καρπῶν τῆς γῆς καὶ ὀπωρῶν καὶ βρωτῶν καὶ ζώων τετραπόδων τε καὶ πτηνῶν. Ἐν τέλει δὲ φέρονται: Στίχοι ὠφέλιμοι πονηθέντες παρὰ φιλοσόφου Πρ... Δαμασκηνοῦ· Εἰσὶ δὲ οἱ στίχοι 137.

Κείμενον τοῦ χειρογράφου.

Ἐπειδὴ ἧκε καὶ ὁ πανιερώτατος μητροπολίτης ἐνταῦθα τῆς ἁγιωτάτης μητροπόλεως Καισαρείας Καππαδοκίας, ὁ καὶ πρωτόθρονός τε καὶ ἔξαρχος πάσης Ἀνατολῆς, ἅμα μὲν προσκυνῆσαι τὸν πάνσεπτον καὶ θεῖον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Τάφον, καὶ τοὺς ἐν Ἱεροσολύμο ς ἱστορῆσαι ἱεροὺς τόπους, πρὸς οὓς ἐτελέσθησαν τὰ παράδοξα τῆς Χριστοῦ οἰκονομίας μυστήρια· ἅμα δὲ κοινώσασθαι πρὸς ἡμᾶς καὶ τὸ τῆς ὀρθοδοξίας καὶ εὐσεβείας χριστιανῶν μέγα μυστήριον, καὶ δηλοποιῆσαι τὰ ἐν Κωνσταντινουπόλει σκάνδαλα πάντα διὰ τὴν συναθροισθεῖσαν χουστωδίαν, ἤτοι μιαρὰν Σύνοδον ἐν τῇ Φλωρεντίᾳ τῆς Ἰταλίας, τὴν τὰ τῶν Λατίνων σὺν τῷ Εὐγενίῳ πάπᾳ δοξάσασαν ἅπερ οὐκ ἔδει, τήν τε προσθήκην δηλαδὴ ἐν τῷ τῆς πίστεως Συμβόλῳ καὶ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ, τά τε ἄζυμα συγχωρήσασαν πρὸς ἡμῶν θύεσθαι, καὶ μνημονεύειν διὰ τούτων τὸν πάπαν· ἔτι τε τἄλλα ὅσα παρὰ κανόνας ἄθεσμα ἐκείνῳ συγκατατεθεῖσαν καὶ στέρξασαν· καὶ ὅπως ὁ Κυζίκου Μητροφάνης ληστρικῶς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἥρπασε, συναινῶν τοῖς τε αἱρετικοῖς καὶ τῷ εἰρημένῳ πάπᾳ, καὶ βασιλεῖ τῶν Ῥωμαίων Ἰωάννῃ τῷ Παλαιολόγῳ τῷ λατινόφρονι· καὶ τοὺς μὲν πιστοὺς τε καὶ ὀρθοδόξους ἀπειλῶν, διώκων, τυραννῶν, ἐπιτιμῶν, τοὺς δ' ἀπίστους και κακοδόξους προκαλῶν, τιμῶν, ὡς τῆς αὐτοῦ αἱρέσεως σύμφρονας, καὶ ὑπερεκπερισσοῦ μάλιστα περιποιούμενος τούτους κατὰ ἀντιπάθειαν τῆς ὀρθοδοξίας καὶ εὐσεβείας· ὡς ἐκ τούτου τοῦ τρόπου καὶ μητροπολιτίδια βέβηλα, καὶ μιαρὰ

Κείμενον τοῦ Μελετίου.

Ἐπειδὴ ἧκε καὶ ὁ πανιερώτατος Μητροπολίτης ἐνταῦθα τῆς ἁγιωτάτης μητροπόλεως Καισαρείας Καππαδοκίας, ὁ καὶ πρωτόθρονός τε καὶ ἔξαρχος πάσης Ἀνατολῆς, ἅμα μὲν προσκυνῆσαι τὸν πάνσεπτον καὶ θεῖον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Τάφον, καὶ τοὺς ἐν Ἱεροσολύμοις ἱστορῆσαι ἱεροὺς τόπους, πρὸς οὓς τὰ παράδοξα ἐτελέσθησαν τῆς Χριστοῦ οἰκονομίας μυστήρια, ἅμα δὲ κοινώσασθαι πρὸς ἡμᾶς καὶ τὸ τῆς ὀρθοδοξίας, καὶ εὐσεβείας Χριστιανῶν μέγα μυστήριον, καὶ δηλοποιῆσαι τὰ ἐν Κωνσταντινουπόλει σκάνδαλα πάντα, διὰ τὴν συναθροισθεῖσαν ἐν Φλωρεντίᾳ τῇ πρὸς Ἰταλίαν μιαρὰν σύνοδον, καὶ τὰ τῶν Λατίνων σὺν τῷ Εὐγενίῳ Πάπα δοξάσασαν, ἅπερ οὐκ ἔξεστι· τινὰ προσθήκην δηλαδὴ ἐν τῷ τῆς πίστεως ἡμῶν θείῳ καὶ ἀμωμήτῳ συμβούλῳ ὑπογράψασαν καὶ πεισθεῖσαν, ὡς καὶ ἐκ τοῦ Υἱοῦ τὸ θεῖον ἐκπορεύεται Πνεῦμα· τά τε ἄζυμα συγχωρήσασαν πρὸς ἡμᾶς θύεσθαι, καὶ μνημονεύειν διὰ τοῦτο τὸν Πάπαν· ἔτι τά τε ἄλλα, ὅσα παρὰ κανόνας ἄθεσμα ἐκείνων συγκατατεθεῖσαν καὶ στέρξασαν· καὶ ὅπως ὁ Κυζίκου Μητρόφανος ληστρικῶς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἥρπασε, συναινήσασαν τοῖς τε αἱρετικοῖς, καὶ τῷ εἰρημένῳ Πάπᾳ, καὶ βασιλεῖ τῶν Ῥωμαίων Παλαιολόγῳ τῷ λατινόφρονι, καὶ τοὺς μὲν πιστούς τε καὶ ὀρθοδόξους ἀπειλοῦντι, διώκοντι, τυραννοῦντι, ἐπιτιμοῦντι, τοὺς δ' ἀπίστους, καὶ κακοδόξους προσκαλοῦντι, τιμῶντι ὡς καὶ ἀναβιβάζοντι, τῆς ἑαυτοῦ αἱρέσεως σύμφρονας, καὶ ὑπερεκπερισοῦ μάλιστα περιποιουμένῳ τούτους, κατὰ ἀντιπάθειαν τῆς ὀρθοδοξίας, καὶ εὐσεβείας· ὡς ἐκ τού-

ἐπισκοπίδια πανταχοῦ εἰς τοὺς θείους καὶ ἁγίους θρόνους τῆς ἁγίας Μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως προχειρισάμενος ἔπεμψεν, ὡς ὑποκειμένους αὐτοῦ τάχα τῇ ἐνορίᾳ. Ἔδειξεν οὖν ὁ εἰρημένος πανιερώτατος μητροπολίτης κῦρις Ἀρσένιος, ὡς οὐ μόνον πρὸς τὰς ἄλλας Ἐκκλησίας ὁ Μητροφάνης πατριάρχης τὰς παρανόμους χειροτονίας λατινοφρόνως παρέπεμψεν, ἀλλ' ἤδη καὶ πρὸς τὴν ἐπαρχίαν τῆς Ἀνατολῆς πάσης τέτταρα ὁ ἀχειροτόνητος κεχειροτόνηκε μητροπολιτίδια καὶ ἐπισκοπίδια, πρός τε τὴν Ἀμάσειαν δηλονότι, Νεοκαισάρειάν τε, Τύαννα, καὶ Μωκισσόν, τὰ τῶν Λατίνων πάντα καὶ φρονοῦντα καὶ πράττοντα· ἅπερ δὴ οὐ μόνον ἐν ἑαυτοῖς κατέχειν ἀνέχονται τὴν ἰδίαν φθορὰν καὶ ἀπώλειαν, ἀλλά γε μετὰ τὴν τοσαύτην τόλμαν, καὶ τοὺς ὑπὸ τὴν τοῦ Χριστοῦ ποίμνην ἅπαντες ἐκεῖσε χριστιανοὺς ὄντας ἀπατῶντας καὶ διαφθείροντας, καὶ πολλὰ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ σκάνδαλα προξενοῦντας. Καὶ διὰ τοῦτο ὁ εὐσεβὴς καὶ πιστότατος καὶ τῆς ὀρθοδοξίας ἁπάσης ὑπέρμαχός τε καὶ ζηλωτὴς οὑτοσί, ὁ εἰρημένος πανιερώτατος μητροπολίτης Καισαρείας Καππαδοκίας, μὴ ἀνεχόμενος ὁρᾶν τῆς τοῦ Χριστοῦ Ἐκκησίας καινοτομίαν καὶ λύμην τῶν ἑτεροδόξων πρὸς τὴν ὀρθοτάτην καὶ ὑγιαίνουσαν ἡμῶν πίστιν, ἠξίωσε συνοδικὴν λαβεῖν γνώμην παρ' ἡμῶν τῶν τριῶν ὀρθοδόξων ἀρχιερέων τῶν ἐν τῇ Συρίᾳ, τοῦ τε δηλονότι Φιλοθέου Ἀλεξανδρείας, Ἰωακεὶμ Ἱεροσολύμων, [καὶ] Δωροθέου Ἀντιοχείας, ὅπως ἀποσοβήσῃ τοὺς μὴ ὀρθῶς φρονοῦντας ἐκ πάσης τῆς ἐπαρχίας αὐτοῦ, ὡς ὅτι πρωτογενέστερος καὶ ὀρθόδοξος οὗτος. Ἔνθεν τοι καὶ ὁρίζομεν ἡμεῖς συνοδικῶς ὁμοῦ ἐν τῷ ὀνόματι τῆς ὁμοουσίου-τε καὶ ζωαρ-

του τοῦ τρόπου, καὶ Μητροπολίδια, βέβηλα, καὶ μιαρὰ Ἐπισκοπίδια πανταχοῦ, εἰς τοὺς θείους, καὶ ἁγίους θρόνους τῆς ἁγίας μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως προτρέψας ὡς ὑπὸ τῆς ἑαυτοῦ τάχα ἐνορίας ὑποκειμένους· ἔδειξεν ὅμως ὁ εἰρημένος πανιερώτατος μητροπολίτης Κύριος Ἀρσένιος τῆς ἁγιωτάτης μητροπόλεως μεγάλης Καισαρείας Καππαδοκίας, πρωτόθρονός τε καὶ ἔξαρχος πάσης Ἀνατολῆς, ὡς οὐ μόνον πρὸς τὰς ἄλλας Ἐκκλησίας ὁ Μητρόφονος Πατριάρχης τὰς παρανόμους χειροτονίας προτρέψας λατινοφρόνους, ἀλλ' ἤδη καὶ πρὸς τὰς τῆς ἐπαρχίας τῆς Ἀνατολῆς πάσης τέσσαρα ὁ ἀχειροτόνητος κεχειροτόνηκε μητροπολίδια, καὶ ἐπισκοπίδια, πρός τε τὴν Ἀμασίαν δηλονότι, Νεοκαισαρίαν, Τύανα, καὶ Μακισόν, τὰ τῶν Λατίνων πάντα φρονοῦντα, καὶ πράττοντα, ἃ καὶ οὐ μόνον ἐντεῦθεν τὴν ἑαυτῶν ἀνεχόμεθα φθοράν, καὶ ἀπώλειαν, ἀλλά γε μετὰ τὸν τοσαύτην τόλμαν, καὶ τοὺς ὑπὸ τὴν τοῦ Χριστοῦ ποίμνην ἅπαντας ἐκεῖσε Χριστιανοὺς οὕτως ἀπατῶντα καὶ διαφθείροντα, καὶ πολλὰ τῇ ὀρθοδόξῳ Ἐκκκησίᾳ σκάνδαλα προξενοῦντα· διὰ τοῦτο ὁ εὐσεβής, καὶ πιστότατος, καὶ τῆς ὀρθοδοξίας πάσης ὑπέρμαχός τε καὶ ζηλωτὴς οὑτοσὶ ὁ εἰρημένος μητροπολίτης Καισαρείας Χριστοῦ καινοτομίαν, καὶ λύμην τῶν ἑτεροδόξων πρὸς τὴν ὀρθοτάτην καὶ ὑγιαίνουσαν ἡμῶν πίστιν, ἠξίωσε συνοδικὴν λαβεῖν γνώμην παρ' ἡμῶν τῶν τριῶν ὀρθοδόξων ἀρχιερέων τῶν ἐν τῇ Συρίᾳ, τοῦ τε δηλονότι Φιλοθέου Ἀλεξανδρείας, Δωροθέου Ἀντιοχείας, καὶ Ἰωακεὶμ Ἱεροσολύμων, ὅπως ἀποσοβήσῃ τοὺς μὴ ὀρθῶς φρονοῦντας ἐκ πάσης τῆς ἐπαρχίας αὐτοῦ, καὶ ὡς ὅτι πρωτογενέστερος οὗτος, καὶ

χικῆς καὶ ἀδιαιρέτου καὶ ἁγίας Τριάδος, τοὺς μὴ δι' ἀρετὴν καὶ εὐσέβειαν χειροτονηθέντας μητροπολίτας τε καὶ ἐπισκόπους πανταχοῦ καὶ ἐν πάσῃ, ἔτι τε ἡγουμένους ὁμοῦ καὶ πνευματικοὺς τάχα, ὡσαύτως τε ἱερεῖς καὶ διακόνους καὶ πάσης ἐκκλησιαστικῆς ἁπλῶς ψήφου, ἀλλὰ βεβήλους ὄντας καὶ ἀναξίους, τὸν δὲ τῆς αἱρέσεως καὶ διωγμοῦ τῆς ὀρθοδοξίας δραξαμένους καιρὸν μόνον ἔδραμον ἀναξίως, κενοδοξίας μόνης καὶ αἱρέσεως τρόπῳ πρὸς ἐπισκοπάς τε καὶ μητροπόλεις, ὡς δῆθεν τάχα σωτῆρες ψυχῶν, ἵνα σὺν αὐτοῖς μᾶλλον φθείρωσι καὶ τὸ τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἅπαν ὀρθόδοξον ποίμνιον, μηδόλως φόβον Θεοῦ, καὶ δικαιοσύνης, καὶ εὐσεβείας κεκτημένους καρπὸν, ἀλλὰ καταφρονητὰς καὶ ἀναιδεῖς ὄντας πρὸς εὐσέβειαν πᾶσαν, τούτους ὁρίζομεν ἀπὸ τῆς σήμερον ἀργοὺς καὶ ἀνιέρους εἶναι πάσης ἱεροπραξίας καὶ ἐκκλησιαστικῆς καταστάσεως, ἄχρις ἂν ἐξετασθῇ ἡ εὐσέβεια κοινῶς τε καὶ οἰκουμενικῶς. Οὕτω μὲν οὖν τούτοις πεισθέντες, ἔστωσαν ἀργοὶ καὶ ἀνίεροι· ἀνταίροντες δὲ καὶ ἀνθιστάμενοι ληστρικῶς τε καὶ παρανόμως· ἔστωσαν καὶ ἀφωρισμένοι, καὶ κεχωρισμένοι, καὶ ἠλλοτριωμένοι τῆς ἁγίας καὶ ὑπερουσίου καὶ ὁμοουσίου Τριάδος ὡς ἀπειθεῖς καὶ ἀντίλογοι· ὡσαύτως δὲ καὶ οἱ τούτους δεχόμενοι καὶ συναινοῦντες ἐν τοῖς τοιούτοις καὶ ὑπερασπίζοντες. Ἀποκαθιστῶμεν δ' ὅμως κήρυκα τῆς εὐσεβείας καὶ ὀρθοδοξίας τὸν ἄνωθεν εἰρημένον πανιερώτατον μητροπολίτην ὑπέρτιμον καὶ ἔξαρχον πάσης Ἀνατολῆς κηρύξαι πανταχοῦ τὴν εὐσέβειαν, μὴ αἰδούμενον πρὸς ἀλήθειαν πρόσωπον βασιλέως ἢ πατριάρχου τοῦ μὴ ὀρθῶς φρονοῦντος ἢ πράττοντος, μηδὲ πλουσίου καὶ ἄρχοντος

ὀρθόδοξος· ἔνθεν τοι καὶ ὁρίζομεν ἡμεῖς συνοδικῶς ὁμοῦ ἐν τῷ ὀνόματι τῆς ὁμοουσίου ζωαρχικῆς τε καὶ ἀδιαιρέτου ἁγίας Τριάδος, τοὺς μὴ δι' ἀρετὴν, καὶ εὐσέβειαν χειροτονηθέντας Μητροπολίτας τε, καὶ Ἐπισκόπους πανταχοῦ καὶ προσέτι ἡγουμένους ὁμοῦ καὶ πνευματικοὺς τάχα. Ὡσαύτως τε ἱερεῖς, καὶ διακόνους καὶ πάσης Ἐκκλησιαστικῆς ἁπλῶς ψήφου, ἄλλως βεβήλους ὄντας, καὶ ἀναξίους, τὸν δὲ τῆς αἱρέσεως καὶ διωγμοῦ τῆς ὀρθοδοξίας δραξαμένους καιρὸν καὶ δραμόντας ἀναξίως, κενοδοξίας μόνης, καὶ αἱρέσεως τρόπῳ πρὸς Ἐπισκοπάς τε, καὶ Μητροπόλεις, ὡς δῆθεν τάχα σωτῆρας ψυχῶν, ἵνα σὺν αὐτοῖς ἄλλους φθείρωσι καὶ τὸ τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἅπαν ὀρθόδοξον ποίμνιον, μηδ' ὅλως φόβον Θεοῦ καὶ δικαιοσύνης, καὶ εὐσεβείας κεκτημένους καρπὸν, ἀλλὰ καταφρονητὰς, καὶ ἀναιδεῖς ὄντας πρὸς εὐσέβειαν πᾶσαν, τουτέστιν ὁρίζομεν ἀπὸ τῆς σήμερον, ἀργοὺς καὶ ἀνιέρους εἶναι πάσης ἱεροπραξίας, καὶ Ἐκκλησιαστικῆς καταστάσεως, ἄχρις ἂν ἐξετασθῇ ἡ εὐσέβεια κοινῶς τε, καὶ οἰκουμενικῶς· οὕτω μὲν οὖν καταπεισθέντες, ἔστωσαν ἀργοὶ, καὶ ἀνίεροι, ἀνταίροντες δὲ, καὶ ἀνθιστάμενοι ληστρικῶς τε, καὶ παρανόμως, ἔστωσαν ἀφωρισμένοι, καὶ ἠλλοτριωμένοι τῆς ἁγίας, καὶ ὑπερουσίου, καὶ ὁμοουσίου Τριάδος, ὡς ἀπειθεῖς καὶ ἀντίλογοι. Ὡσαύτως δὲ καὶ οἱ τούτους δεχόμενοι, καὶ συναινοῦντες ἐν τοῖς τοιούτοις καὶ ὑπερασπίζοντες· ἀποκαθιστῶμεν δ' ὅμως κήρυκα τῆς εὐσεβείας, καὶ ὀρθοδοξίας τὸν ἄνωθεν εἰρημένον πανιερώτατον Μητροπολίτην τὸν καὶ ὑπέρτιμον, καὶ ἔξαρχον πάσης Ἀνατολῆς, κηρύξαι πανταχοῦ τὴν εὐσέβειαν, μὴ αἰδούμενον πρὸς ἀλήθειαν πρόσωπον βασιλέως, ἢ Πατριάρχου, τοῦ μὴ ὀρθῶς φρονοῦντος,

ἢ τοῦ τυχόντος ἀνθρώπου, ἀλλὰ παρρησίᾳ τὴν πίστιν καὶ ὀρθοδοξίαν κατέχοντα ἀφόβως καὶ ἀδιστάκτως, κατὰ τὴν ἐντολήν, ἔχειν αὐτὸν ἄδειαν ἀπὸ τοῦ νῦν ἕνεκεν εὐσεβείας ἐλέγξαι, ἐπιτιμῆσαι, καὶ διορθῶσαι τοὺς μὴ ὀρθῶς φρονοῦντας ἐν παντὶ τόπῳ, ἐφ' ὅσον ἂν ἰσχύῃ ὁδεύειν, παρ' ἡμῶν αὐτῶν εἰληφὼς τὴν συγγνώμην διὰ τῆς δοθείσης ἡμῖν χάριτος καὶ δυνάμεως τοῦ παναγίου πνεύματος· ὀφείλοντα καὶ αὐτὸν τηρῆσαι ἀδωροδοκήτως τε καὶ ὀρθῶς τὴν εὐσέβειαν· οὗ ἕνεκεν ἐπεδόθη αὐτῷ καὶ ἡ ἔγγραφος ἡμῶν γνώμη, συνοδικῶς ὑπογραφεῖσα ἰδιοχείρως.

Ἐν μηνὶ Ἀπριλλίῳ τοῦ ,ϛ϶νκ' ἔτους, ἰνδικτιῶνος ϛ'.

καὶ πράττοντας, μηδὲ πλουσίου, καὶ ἄρχοντος ἀνθρώπου· ἀλλὰ παῤῥησίᾳ τὴν πίστιν, καὶ ὀρθοδοξίαν κατέχοντα ἀφόβως, καὶ ἀδιστάκτως κατὰ τὴν ἐντολήν, ἔχειν αὐτὸν ἄδειαν ἀπὸ τοῦ νῦν, ἕνεκεν εὐσεβείας ἐλέγξαι, ἐπιτιμῆσαι, καὶ διορθῶσαι τοὺς μὴ ὀρθῶς φρονοῦντας ἐν παντὶ τόπῳ, ἐφ' ὅσον ἂν ἰσχύει ὁδεύειν, παρ' ἡμῶν αὐτῶν εἰληφότα τὴν συγγνώμην, διὰ τῆς δοθείσης ἡμῶν χάριτος καὶ δυνάμεως τοῦ ἁγίου Πνεύματος, ὃς καὶ ὀφείλει κατὰ τούτων τηρῆσαι ἀδωροδοκήτως τε, καὶ ὀρθῶς τὴν εὐσέβειαν· οὗ ἕνεκεν ἐπεδόθη αὐτῷ καὶ ἡ ἔγγραφος ἡμῶν γνώμη συνοδικῶς, ὑπογραφεῖσα ἰδιοχείρως, ἐν μηνὶ ἀπριλ. τοῦ ,ϛμα' ἔτους τῆς νῦν τρεχούσης Ἰνδικτιῶνος, καὶ ἀπὸ Χριστοῦ ͵αυμγ'.

143.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλ. 0,15, κατὰ τὸ ,ζλ' (+1522) ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 242, ἀλλ' ἐλλιπὲς ὀλίγων φύλλων ἐν τῇ ἀρχῇ. Περιέχει τὰ ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκόμενα Εὐαγγέλια.

144.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,15, περὶ τὴν ΙΕ' ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 76 συγκείμενον, ἀλλ' ἐλλιπέστατον ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένας περικοπὰς τῶν Πράξεων καὶ τῶν Ἐπιστολῶν τῶν Ἀποστόλων.

145.

Φάκελλος ἐξ ἐννέα τετραδίων καὶ ἐκ χάρτου κοινοῦ συγκείμενος, μήκ. 0,21, πλ. 0,15, ἐκ φύλλων δὲ 137 ἀπαρτιζόμενος. Περιέχει: Ἑρμηνείαν εἰς τὰς Καθολικὰς Ἐπιστολὰς τοῦ Ἀποστόλου Πέτρου, ὑπὸ τοῦ ἀειμνήστου καθηγητοῦ Κ. Κοντογόνου.

146.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0.28, πλ. 0,20, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 174 συγκείμενον. Περιέχει τὰ ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκόμενα Εὐαγγέλια.

147.

Τεῦχος περγαμηνὸν μήκ, 0,25, πλ. 0.17, κατ' ἀρχομένην ἴσως τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 255 συγκείμενον, ὧν τὰ πρῶτα 8 εἰσὶν ἐν μέρει ἐφθαρμένα. Περιέχει τὰ ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκόμενα Εὐαγγέλια μετὰ τῶν συνήθων σημαδοφώνων.

148.

Τεῦχος περγαμηνὸν μήκ. 0,19, πλ. 0,15, περὶ τὴν ΙΕ' τελευτῶσαν ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 104, ἐλλιπὲς ὅμως ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει δὲ καὶ τοῦτο τὰ ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκόμενα Εὐαγγέλια.

149.

Τεῦχος περγαμηνὸν μήκ. 0,22, πλ. 0,16, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 181, ἀλλ' ἐλλιπέστατον ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: α') Τὰς Πράξεις τῶν Ἀποστόλων.—β') Ἰακώβου τὴν Καθολικὴν Ἐπιστολὴν — γ') Τὰς Β' Καθολικὰς τοῦ Πέτρου. — δ') Β' Καθολικὰς τοῦ Ἰωάννου. — ε') Τὴν τοῦ Ἰούδα.— ϛ') Παύλου τὰς ΙΔ' Ἐπιστολάς, ὧν προτέτακται πρόλογος Εὐθαλίου ἐπισκόπου Σούλκης, ἀρχόμενος οὕτω: «Τὸ φιλομαθὲς καὶ σπουδαῖον ἀγαπάμενος (γρ. ἀγασάμενος) τῆς σῆς ἀγάπης, πάτερ τιμιώτατε, κτλ. Ἀλλὰ καὶ ἐν ταῖς προλαβούσαις Ἐπιστολαῖς φέρονται Προγράμματα, Ὑποθέσεις, καὶ κατὰ κεφάλαια καὶ στίχους διαιρέσεις τοῦ αὐτοῦ ἴσως Εὐθαλίου. Ἔχει δὲ καὶ εἰκόνας τρεῖς, μίαν τοῦ Ἀποστόλου Πέτρου ἐν φύλλῳ 52, καὶ δύο τοῦ Παύλου ἐν φύλλ. 103 καὶ 143, ἔργα βαναύσου χειρός.

150. [12].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,30, πλάτ. 0,22, ὑπὸ δύο διαφόρων χειρῶν κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 414. Περιέχει ἅπασαν τὴν Καινὴν Διαθήκην.—Συναξάριον τῶν καθ' ὅλον τὸν ἐνιαυτὸν ἀναγινωσκομένων Ἀποστολο-ευαγγελίων,—Δήλωσιν διαλαμβάνουσαν τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν καὶ τὴν τῶν εὐαγγελιστῶν διαδοχήν, — τὰ Κεφάλαια τῶν κατὰ Ματθαῖον, Μάρκον Λουκᾶν καὶ Ἰωάννην Εὐαγγελίων,— καὶ τὰς Ὑποθέσεις καὶ Ἀκροτελεύτια τῶν Καθολικῶν καὶ τῶν τοῦ Παύλου Ἐπιστολῶν. Ἔχει δ' ἐγχρώμους καὶ τριῶν εὐαγγελιστῶν τὰς εἰκόνας, Μάρκου, Λουκᾶ καὶ Ἰωάννου, ὧν ὅμως τὰ χρώματα ἐξηφάνισεν ἐν μέρει ὁ χρόνος.

151. [13].

Τεῦχος περγαμηνὸν μήκ. 0,14, πλάτ. 0,10, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 301 συγκείμενον. Περιέχει τὰ τέσσαρα Εὐαγγέλια. Ἐν ἑκάστῳ εὐαγγελιστῇ μετὰ τὰ Κεφάλαια φέρονται τὰ καὶ ἐν ἄλλοις χειρογράφοις ἀπαντῶντα γνωστὰ Ἐπιγράμματα. Ἐν τῷ τεύχει φέρονται καὶ αἱ τῶν εὐαγγελιστῶν εἰκόνες μετρίως ἐξειργασμέναι.

152. [14].

Τεῦχος περγαμηνὸν μήκ. 0,22, πλάτ. 0,15, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 295. Περιέχει τὰ τέσσαρα Εὐαγγέλια, ὧν προτέτακται ἡ Ὑπόθεσις Εὐσεβίου τοῦ Παμφίλου καὶ οἱ δέκα Κανόνες αὐτοῦ περὶ τῆς τῶν Εὐαγγελιστῶν συμφωνίας, μεθ' οὓς ἕπονται ἡ Ὑπόθεσις καὶ τὰ Κεφάλαια τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, πρὸς δὲ καὶ ἡ τοῦ Θεοφυλάκτου Βουλγαρίας Ὑπόθεσις ὑπὸ χειρὸς μικρῷ μεταγενεστέρας τῆς τοῦ χειρογράφου ἡλικίας. Πλὴν δ' ἄλλων κομψο-

τεχνημάτων, ἀπαντῶσιν ἐν τῷ τεύχει καὶ αἱ τῶν Εὐαγγελιστῶν εἰκόνες ἐπὶ δαπέδου διαχρύσου, οὐ μέντοι καὶ αὗται κεκαλλιτεχνημέναι. Ἐν τῷ τέλει τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου, μετὰ τὸ ἀκροτελεύτιον: «Ἐγράφη τὸ κατὰ Ἰωάννην» κτλ., φέρονται οἱ στίχοι οὗτοι :

«Ὅρα μοναχὲ πρὸς μόνα μένοντά σοι
Ἐπεὶ πόθος ῥέοντος οὐ μενεῖ πόθος».

μεθ' οὓς ἄρχεται : Συναξάριον σὺν Θεῷ διά τε τῆς ἀρχῆς καὶ τοῦ τέλους τὴν περικοπὴν ἑκάστου Εὐαγγελιστοῦ ἅμα δὲ καὶ τῶν κεφαλαίων παρασημείωσιν ἀκριβῶς ἀγορεύων» καὶ μετ' αὐτό : «Ἀναγνώσματα εἰς διαφόρους ὑποθέσεις», ἀτελῆ ὅμως.

153. [15].

Τεῦχος περγαμηνὸν μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 283. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον. Ἐν τοῖς προσθίοις φύλλοις εἰσὶ τεταγμένοι οἱ δέκα Κανόνες τοῦ Εὐσεβίου περὶ τῆς τῶν τεσσάρων Εὐαγγελιστῶν συμφωνίας. Βέβηλος χεὶρ ἀπέκοψε τὰς ἐν τῷ τεύχει εἰκόνας τῶν Εὐαγγελιστῶν, ἐξ ὧν μόνη ἡ τοῦ Λουκᾶ ἐσώθη ἐπὶ δαπέδου διαχρύσου. Ἐν τῷ τελευταίῳ φύλλῳ ἐφέρετο σημείωσις δηλοῦσα πιθανῶς τὸ τοῦ ἀντιγραφέως ὄνομα, ἀλλ' ἀπεξέσθη αὕτη ὁλοτελῶς, ἀμυδρῶς δὲ μόνον διακρίνονται τὰ ἴχνη τῶν τελευταίων τούτων λέξεων «...... εἰς συλλαβὰς καὶ λέξεις· ἀναγίνωσκε οὖν τοῦτο καὶ εὔχου ἡμῖν».

154. [16].

Τεῦχος περγαμηνὸν μήκ. 0,21, πλάτ. 0,15, σύγχρονον ἴσως τῷ προηγουμένῳ καὶ ἐκ φύλλων 281 συγκείμενον. Ἔστι δὲ καὶ τοῦτο τὸ διὰ τεσσάρων Εὐαγγέλιον. Προτέτακται : Συναξάριον τῶν κατὰ Ἰωάννην, Ματθαῖον, Μάρκον καὶ Λουκᾶν Εὐαγγελίων, τῶν ἐν ταῖς παννυχίσι τῆς πρώτης τῶν νηστειῶν ἑβδομάδος ἀναγινωσκομένων περικοπῶν, καὶ τῶν εἰς ἄλλας ἑορτὰς καὶ καθ' ὅλους τοὺς μῆνας τοῦ ἐνιαυτοῦ· μεθ' ὃ ἕπεται : ἡ Ὑπόθεσις τοῦ Εὐσεβίου, οἱ δέκα Κανόνες αὐτοῦ καὶ τὰ Κεφάλαια καὶ αἱ Ὑποθέσεις τῶν κατὰ Ματθαῖον, Μάρκον, Λουκᾶν καὶ Ἰωάννην Εὐαγγελίων.

155. [17].

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλάτ. 0,16, σύγχρονον καὶ τοῦτο τῷ προηγουμένῳ καὶ ἐκ φύλλων 332 συγκείμενον. Ἔστι δὲ τὸ διὰ τεσσάρων Εὐαγγέλιον. Προτέτακται καὶ τούτου Συναξάριον τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένων εὐαγγελικῶν περικοπῶν. Ἐν τῷ τέλει ἐσημειώσατο ὁ ἀντιγραφεὺς τὸ ἑαυτοῦ ὄνομα διὰ τούτων: «Θεοῦ τὸ δῶρον καὶ πόνημα Μάρκου ἱερομονάχου δι' ἐξωνήσεως ἱκτροῦ (οὕτω) Γρηγορίου ἱερομονάχου».

156. [18].

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλάτ. 0,16, κατὰ τὴν ΙΕ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 324, ὧν τὰ πρῶτα 44 ἐκπεσόντα συνεπληρώθησαν ἐκ χάρτου. Ἔστι δὲ καὶ τοῦτο τὸ διὰ τεσσάρων Εὐαγγέλιον. Αἱ ἐν αὐτῷ ἔγχρωμοι εἰκόνες τῶν τριῶν

Εὐαγγελιστῶν Μάρκου, Λουκᾶ καὶ Ἰωάννου ἐγένοντο σχεδὸν ἐξίτηλοι ἐκ τῆς συχνῆς τοῦ τεύχους ἀνελίξεως.

157. [19].

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλάτ. 0,19, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 316, ἀλλ' ἐλλιπὲς ἔν τε τῇ ἀρχῇ καὶ τῷ τέλει. Ἔστι καὶ τοῦτο τὸ διὰ .εσσάρων Εὐαγγέλιον.

158. [20].

Τεῦχος περγαμηνὸν μήκ. 0,19, πλάτ. 0,13, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 229. Ἔστι καὶ τοῦτο τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

159. [21].

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλάτ. 0,12, ἐκ φύλλων συγκείμενον 316, ὧν τὰ ἐκρυέντα ἐκ τοῦ τέλους 12 συνεπληρώθησαν ἐκ χάρτου. Ἔστι δὲ καὶ τοῦτο τὸ διὰ τεσσάρων Εὐαγγέλιον, σύγχρονον τῷ προηγουμένῳ.

160. [22].

Τεῦχος περγαμηνὸν μήκ. 0,16, πλάτ. 0,11, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γράμμασι λεπτεπιλέπτοις γεγραμμένον, ἐκ φύλλων δὲ 323 συγκείμενον. Περιέχει τὰ τέσσαρα Εὐαγγέλια, τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς Ζ' καθολικὰς Ἐπιστολὰς τοῦ Ἰακώβου, Πέτρου, Ἰωάννου καὶ Ἰούδα, καὶ τὰς ΙΔ' τοῦ Παύλου. Προτεταγμένοι δ' εἰσὶν οἱ Κανόνες τῆς τῶν Εὐαγγελιστῶν συμφωνίας. Εἰκὼν μία μόνη φέρεται, ἡ τοῦ Ματθαίου, ἐκρυεισῶν ἴσως τῶν ἄλλων· ἀλλὰ καὶ αὕτη λελωβημένη λίαν.

161. [23].

Τεῦχος περγαμηνὸν μήκ. 0,18, πλάτ. 0,14, περὶ τελευτῶσαν τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 222, ὧν τὰ 14 πρῶτα ἐκ χάρτου. Ἔστι καὶ τοῦτο τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

162. [24].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,23, πλάτ. 0,16, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 253 συγκείμενον. Ἔστι καὶ τοῦτο τὸ διὰ τεσσάρων Εὐαγγέλιον.

163. [25].

Τεῦχος περγαμηνὸν μήκ. 0,35, πλάτ. 0,25, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 327, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχει τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένας περικοπὰς τῶν Εὐαγγελίων μετὰ ἀρχαίων ἐρυθρογράφων σημαδοφώνων. Ἔστι δ' ἐπιμελέστατα γεγραμμένον πολλὴν ἔχον τὴν διακόσμησιν ἔν τε τοῖς πολυχρώμοις καὶ διαχρύσοις πλαισίοις, τοῖς ἀρκτικοῖς κεφαλαίοις γράμμασι ζῳδίοις τισὶν ἀπεικασμένοις καὶ ταῖς τῶν Εὐαγγελιστῶν τρισὶν εἰκόσιν (Ἰωάννου, Ματθαίου καὶ Λουκᾶ), εἰ καὶ μὴ ἐντέχνως λίαν ἐξειργασμέναις, ἀλλά γε τὸ φιλόκαλον καὶ φιλόπονον τοῦ ἀντιγραφέως προδιδούσαις. Ἐν τῇ τοῦ 2 φύλλου ᾠᾷ ἀπαντᾷ ἡ σημείωσις ἥδε : «Τὸ παρὸν Εὐαγγέλιον ὑπάρχει ἴδιον κτῆμα τῆς παναγίας μου τοῦ Φιλοσόφου, τῆς ἐν τῇ ἐπαρχίᾳ Λακεδαιμονίας, πλησίον τῆς χώρας Δημητσάνης»· ἐν δὲ τῷ τέλει τὸ δίστιχον τοῦτο :

«Ἐνταῦθα τέρμα τῆς καλῆς χειρουργίας·
Καλὸν γὰρ ἔργον χειρὸς ἐστὶ τὸ γράφειν».

164. [26].

Τεῦχος περγαμηνὸν μήκ. 0,35, πλάτ. 0,26, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 291 συγκείμενον. Περιέχει καὶ τοῦτο τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένας περικοπὰς τῶν Εὐγγελίων μετὰ τῶν ἀρχαίων σημαδοφώνων.

165. [27].

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλάτ. 0,23, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 162 συγκείμενον, ἐλλιπὲς ὅμως ἐν τῇ ἀρχῇ. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπὰς μετὰ τῶν ἀρχαίων σημαδοφώνων.

166. [28].

Τεῦχος περγαμηνὸν μήκ. 0,33, πλάτ. 0,22, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 236 συγκείμενον, ἀλλ' ἐλλιπὲς καὶ τοῦτο τῆς ἀρχῆς. Περιέχει τὰς αὐτὰς τῷ ἀνωτέρω εὐαγγελικὰς περικοπὰς μετὰ σημαδοφώνων.

167. [29].

Τεῦχος περγαμηνὸν μήκ. 0,31, πλάτ. 0,23, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 243. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπὰς μετὰ σημαδοφώνων.

168. [30].

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλάτ. 0,21, γεγραμμένον κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα, ἐκ φύλλων δὲ 217 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἑνὸς φύλλου ἐν τῇ ἀρχῇ. Περιέχει καὶ τοῦτο τὰς Εὐαγγελικὰς περικοπάς, ἄνευ ὅμως σημαδοφώνων. Ἐν τῷ φύλλῳ 217 ἀπαντᾷ τὸ σημείωμα τόδε: «+ Ἀφιερώθη τὸ παρὸν ἅγιον Εὐαγγέλιον εἰς τὸν ναὸν τοῦ σωτῆρος Χριστοῦ τοῦ ἐπονομαζομένου τοῦ Μανιτρί διὰ ψυχικὴν ἡμῶν σωτηρίαν καὶ τῶν τέκνων ἡμῶν καὶ εἰς μνημόσυνον τῶν ἐμῶν γεννητόρων. Ἔτους ,ζλε' (+1527) Ἰνδικτ. ιε'».

169. [31].

Τεῦχος περγαμηνὸν μήκ. 0,32, πλάτ. 0,23, περὶ τελευτῶσαν τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 212 συγκείμενον. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς εὐαγγελικὰς περικοπὰς μετὰ καὶ τῶν σημαδοφώνων.

170. [32].

Τεῦχος περγαμηνὸν μήκ 0,31, πλάτ. 0,22, σύγχρονον τῷ προηγουμένῳ καὶ ἐκ φύλλων 144 συγκείμενον. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπὰς μετὰ τῶν σημαδοφώνων. Πολλὴν τὸ τεῦχος ὑπέστη τὴν κάκωσιν, ὑπὸ τῆς νοτίδος ἱκανῶν φύλλων καταστραφέντων, ἄλλων δὲ καὶ ἐκρυέντων.

171. [33].

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ· 0,32, πλάτ. 0,22, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, καὶ κατ' ἀπομίμησιν γραφῆς ἀρχαιοτέρας, ἐκ φύλλων δὲ 355 συγκείμενον, ἐλλιπὲς ὅμως ἐν τῷ τέλει. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπάς.

172. [34].

Τεῦχος περγαμηνὸν μήκ. 0,31, πλάτ. 0,25, κατὰ τὴν ΙΔ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 212, ἀλλ' ἐλλιπὲς ἔν τε τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπὰς μετὰ τῶν σημαδοφώνων.

173. [35].

Τεῦχος περγαμηνὸν μήκ, 0,30, πλάτ. 0,23, περὶ τὸ τέλος τῆς ΙΔ′ ἑκατονταετηρίδος γεγραμμένον, ἐκ φύλλων δὲ 248 συγκείμενον, ἀλλ' ἐλλιπὲς τῆς τε ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπὰς μετὰ καὶ τῶν σημαδοφώνων. Ἐν τῇ πρώτῃ σελίδι τοῦ τελευταίου φύλλου, μεταξὺ πολλῶν ἄλλων, ἀπαντᾷ καὶ τὸ σημείωμα τοῦτο: «+ Κύριε βοήθη τῆν ζωὴν καὶ το τελος τοῦ σοῦ δούλου Μιχαὴλ πραὶποσίτου τὸ παρέχοντι χριστῶ τῆν βίβλον ταῦτην κὲ ἀντημνημόνευσον αυτὸν εἰς τὸ ἅγιον καὶ ὑπερουρὰνιόν σου θυσιαστίριον. Ἀμὴν. Γένοιτο κύριε»· ἐν δὲ τῇ δευτέρᾳ οἱ στίχοι οὗτοι:

«+ Ὥςπερ ξένη χαῖρου σιν εἰδεῖν πατρίδα
καὶ οἱ θαλατέβοντες εὑρῆν λυμένας
οὕτω καὶ οἱ ἀντιγράφωντες
εἰδεῖν βιβλήου τέλος».

174. [36].

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλάτ. 0,24, κατὰ τὴν ΙΔ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 305 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Καὶ τοῦτο περιέχει τὰς αὐτὰς Εὐαγγελικὰς περικοπάς. Ἐν τῇ δευτέρᾳ σελίδι τοῦ πρώτου φύλλου φέρονται χρυσοῖς γράμμασι γεγραμμένοι οἱ ἰαμβικοὶ οὗτοι στίχοι:

«Εὐαγγελιστῶν τοὺς θεοπνεύστους λόγους
Τόμοις διαιρεθέντας ἠκριβωμένως
Ἄυτη βίβλος φέρουσα σύντεταγμένους
Θαῦμα πρόκειται, πᾶσιν ἐξηρημένον.
Ἐκ τῆς γραφῆς ἅπαντας ἕλκον πρὸς θέαν
Ἐκ τῆς ἀρίστης ἐκλογῆς τε καὶ τέχνης
Τὸν ζῆλον ἐγκεντρίζον, οἷς ἐστιν φύσις
Πρὸς ἔργα φιλότιμος εὐκλεῶν πόνων,
Ἧς οἱ τρυφῶντες τὴν ἐπανθοῦσαν χάριν
Μεταγράφοντες ἢ λαλοῦντες ἠρέμα,
Εὐχαῖς φιλοφρονεῖσθε τὸγ τετευχότα
Ὡς δεσπότην πρωτουργὸν ὡς πᾶσι τρόποις·
Ταύτην προθύμως κτώμενον κτῆμα ξένον».

Εἰ δὲ καὶ ἐν τοῖς πλείστοις τῶν φύλλων τὰ γράμματά εἰσι σχεδὸν ἐξαληλιμμένα, ἀλλ' οὖν τὸ τεῦχος τοῦτο τῶν πολυτίμων ἐστὶ τῆς ἡμετέρας βιβλιοθήκης διά τε τὸ ἐπιμεμελημένον τῆς γραφῆς καὶ τὸ ποικιλόχρωμον καὶ διάχρυσον τῶν ἐμφερομένων κοσμημάτων.

175. [37].

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλάτ. 0,22, περὶ τὰ τέλη τῆς ΙΔ′ ἑκατονταετηρίδος γεγραμμένον, ἐκ φύλλων δὲ 180 συγκείμενον, ὧν τὰ τελευταῖα 18 ἀνεπληρώθησαν ἐκ χάρτου βαμβακίνου. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς Εὐαγγελικὰς περικοπὰς ἄνευ σημαδοφώνων.

176. [38].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,30, πλάτ. 0,21, περὶ ἀρχομένην τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 222 συγκείμενον. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπάς, ἄνευ ὅμως σημαδοφώνων. Ἐν τῇ πρώτῃ σελίδι τοῦ προτελευταίου φύλλου σημειοῦται τὸ τοῦ ἀντιγραφέως ὄνομα διὰ τούτων: «Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.—Οἱ ἀναγινώσκοντες εὔχεσθαι τῷ γράψαντι Ἱλαρίωνι ἱερομονάχῳ»· ἐν δὲ τῇ ἑπομένῃ φέρεται ἡ ἀξία λόγου σημείωσις αὕτη: «✝Ἐπειδὴ κατὰ συγχώρησιν Θεοῦ κατέλαβε τὸ ἄνομον γένος τῶν Μουσουλμάνων καὶ ἐξορίσθημεν ἀπὸ τὸ ἅγιον ὄρος τοῦ Ἄθωνος διὰ τὰς ἁμαρτίας ἡμῶν, μετὰ πολλὰ κατηντήσαμεν καὶ εἰς Βέροιαν, εἰς τὴν μονὴν τῆς ὑπεράγνου Θεομήτορος τῆς ἐπικεκλημένης Ὑπαπαντῆς· ἐπειδὴ οὐχ εὗρον τὸ τυχὸν Εὐαγγέλιον εἰς τὴν μονὴν ἐγράφη παρ' ἐμοῦ τοῦ χορικογράφου διὰ τὸ μὴ εὑρεθῆναι τεχνίτην. Καὶ οἱ ἀναγινώσκοντες εἰ εὑρήσετε σφάλμα συγχωρήσατε καὶ εὔχεσθαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον Ἱλαρίωνος ἱερομονάχου. Ἐγράφη δὲ ἐν ἔτει ,ςωλς' (+ 1328) Ἰνδικτιῶνος ι'».

177. [40].

Τεῦχος περγαμηνὸν μήκ. 0,28, πλάτ. 0,21, περὶ τελευτῶσαν τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 79, ἐλλιπὲς ὅμως ἐν τῇ ἀρχῇ. Περιέχει τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένας εὐαγγελικὰς περικοπάς, πλὴν τῶν τοῦ Μάρκου καὶ Ἰωάννου. Ἔστι δὲ τὸ τεῦχος τοῦτο παλίμψηστον, ἡ δ' ἀπαλειφθεῖσα γραφὴ τῆς Θ' ἑκατονταετηρίδος, ὡς εἰκάζομεν. Ἐν τῷ προτελευταίῳ φύλλῳ φέρεται, χειρὶ τοῦ τὸ τεῦχος ἀντιγράψαντος, ἡ ὑπογραφὴ αὕτη: «✝Ὁ εὐλαβέστατος ἱερεὺς καὶ κληρικὸς τῆς ἁγίας ἐπαρχίας (;) τῶν Γαλατῶν Ἰωσὴφ ὁ Ἀγαπητός»· καὶ μικρῷ κάτωθεν ταῦτα: «Ἁγία Τριὰς βλέπε τὸν σὸν δοῦλον Ἰωσὴφ ἱερέα τὸν τοῦ Ἀγαπητοῦ»· ἐν δὲ τῇ δευτέρᾳ σελίδι τοῦ αὐτοῦ φύλλου: «Εὐαγγέλιον τῶν ἁγίων ἐνδόξων καὶ ἰαματικῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. Ἔχων δὲ ἐν αὐτῷ Εὐαγγέλια μόνα τὰ καθημερινὰ ζητῆ καὶ ἐξ αὐτῶν μέρος τῶν Εὐαγγελίων ἐν τῷ μεγάλῳ Εὐαγγελίῳ τῶν ἁγίων τὸ ἐγκοσμιμένῳ».

178. [41].

Τεῦχος μήκ. 0,29, πλάτ. 0,23, συγκείμενον ἐκ φύλλων 178, ὧν τὰ μὲν πρῶτα 6 καὶ τὰ τελευταῖα 93 ἐκ περγαμηνῆς, τὰ δ' ἄλλα ἐκ χάρτου βαμβακίνου, ὑπὸ δύο διαφόρων χειρῶν συγκεκαττυμένον, τῆς μὲν παλαιτέρας κατὰ τὴν ΙΔ', τῆς δὲ νεωτέρας κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα. Περιέχει καὶ τοῦτο τὰς εὐαγγελικὰς περικοπὰς μετὰ σημαδοφώνων ἐπὶ μόνων τῶν ἐκ μεμβράνης φύλλων.

179. [42].

Τεῦχος περγαμηνὸν μήκ. 0,28, πλάτ. 0,21, ἐκ φύλλων συγκείμενον 266. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς τῶν Εὐαγγελίων περικοπὰς μετὰ σημαδοφώνων. Ἔστι δὲ γεγραμμένον κατὰ τὸ ἔτος 1311, καθὰ ἐμφαίνεται ἐκ τοῦ ἐν τῷ τελευταίῳ φύλλῳ σημειώματος τοῦδε: «✝Χριστὲ φιλάνθρωπε βασιλεῦ τῶν ἁπάντων παράσχου χάριν τῷ σῷ πιστῷ οἰκέτῃ Λέοντι ἁμαρτωλῷ τὸ (οὕτω) πόθῳ πολλῷ τῇ δέλτῳ κτη-

σαμένῳ + ἅμα καὶ τῷ γράψαντι [ἄνευ ?] πταισμάτων. Οἱ ἀναγνῶσται εὔχ[εσθε] ὑπὲρ ἡμῶν διὰ Κύριον. Ἀμήν. Γένοιτο. Ἔτος ,ϛωιθ'» (+1311).

180. [43].

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλάτ. 0,21, ἐκ φύλλων συγκείμενον 204. Περιέχει καὶ τοῦτο τὰς εὐαγγελικὰς περικοπὰς μετὰ σημαδοφώνων. Ἔστι δὲ γεγραμμένον κατὰ τὸ ἔτος 1089 καθὰ ἐμφαίνεται ἐκ τοῦ ἐν τῷ φύλλῳ 196α σημειώματος τούτου: « + Ἡ μὲν χεὶρ ἡ γράψασα σήπετε τάφῳ· τὸ δὲ γράμμα μένη εἰς χρόνους πληρεστάτους. — Ἐπληρώθη σὺν θεῷ· μηνὶ Φεβρουαρίω κγ', ἡμέρα παρασκευή, ὥρα β' Ἰνδικτιῶνος ια' τοῦ ἔτους ,ϛφϟζ' (+1089) διὰ χειρὸς Ἀνδρέου νοταρίου καὶ καλλιγράφου καὶ εἴτι ἐγένετο ἄχρι ψῑλοῦ σφάλμα τοῦτο διὰ τὸν Χριστὸν συγχωρήσατέ μοι». Μικρῷ κατωτέρω ἀπαντᾷ καὶ τὸ σημείωμα τοῦτο: « + Ἐγένετο ἡ ἔξοδος παρὰ Θεοφυλάκτου μοναχοῦ καὶ ἱερέως τοῦ Νηκλιώτου τῆς μονῆς τοῦ ἁγίου Νικολάου τῆς Βάλτας καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαι περὶ αὐτοῦ».

181. [44].

Τεῦχος περγαμηνὸν μήκ. 0,26, πλάτ. 0,19, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 257 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἔν τε τῇ ἀρχῇ καὶ τῷ τέλει, πολλὰ δὲ καὶ τὰ ὑπὸ τῆς νοτίδος σεσηπότα φύλλα ἔχον. Περιέχει καὶ τοῦτο τὰς εὐαγγελικὰς περικοπὰς μετὰ σημαδοφώνων.

182. [45].

Τεῦχος περγαμηνὸν μήκ. 0,28, πλάτ. 0,23, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 156, ἀλλ' ἐλλιπὲς ἔν τε τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει καὶ τοῦτο τὰς εὐαγγελικὰς περικοπὰς μετὰ σημαδοφώνων.

183. [46].

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλάτ. 0,22, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 151. Περιέχει τὰς αὐτὰς περικοπὰς ἄνευ σημαδοφώνων.

184. [47].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,30, πλάτ. 0,22, κατὰ τὸ τέλος τῆς ΙΕ' ἑκατονταετηρίδος γεγραμμένον, ἐκ φύλλων δὲ 242 συγκείμενον. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπάς.

185. [48].

Τεῦχος περγαμηνὸν μήκ. 0,28, πλάτ. 0,21, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 260, ὧν τὰ πρῶτα 5 ἐκ χάρτου. Καὶ τοῦτο περιέχει τὰς αὐτὰς περικοπὰς μετὰ σημαδοφώνων.

186. [49].

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλάτ. 0,23, ἐκ φύλλων συγκείμενον 167, σύγχρονον δὲ τῷ προηγουμένῳ. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπὰς μετὰ τῶν σημαδοφώνων.

187. [50].

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλάτ. 0,21, ἐκ φύλλων συγκείμενον 270, σύγχρονον δὲ τῷ προηγουμένῳ, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Καὶ τοῦτο περιέχει

τὰς αὐτὰς περικοπὰς μετὰ τῶν σημαδοφώνων. Ἐν τῷ τελευταίῳ φύλλῳ σημειοῦται τὸ τοῦ ἀντιγραφέως ὄνομα διὰ τούτων: «Δός, Χριστέ, χάριν τοῖς Γεωργίου πόνοις».

188. [51].

Τεῦχος περγαμηνὸν μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΑ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 302. Περιέχει τὰς εὐαγγελικὰς περικοπὰς μετὰ σημαδοφώνων.

189. [52].

Τεῦχος περγαμηνὸν μήκ. 0,26, πλάτ. 0,20, κατὰ τὴν ΙΓ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 156 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει τὰς αὐτὰς περικοπὰς μετὰ σημαδοφώνων.

190. [53].

Τεῦχος περγαμηνὸν μήκ. 0,25, πλάτ. 0,21, κατὰ τὴν ΙΒ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 255. Περιέχει τὰς αὐτὰς περικοπὰς μετὰ σημαδοφώνων.

191. [54].

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλάτ. 0,23, σύγχρονον καὶ τοῦτο τῷ προηγουμένῳ, ἐκ φύλλων δὲ συγκείμενον 158, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει τὰς αὐτὰς περικοπὰς μετὰ σημαδοφώνων.

192. [55].

Τεῦχος περγαμηνὸν μήκ. 0,17, πλάτ. 0,13, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 239 συγκείμενον, ἐλλιπὲς ὅμως τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει τὰς αὐτὰς περικοπὰς καὶ ἔστι παλίμψηστον.

193. [56].

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλάτ. 0,17, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 215, ὧν πολλὰ καὶ ἐκ χάρτου. Περιέχει τὰς αὐτὰς περικοπάς. Τὰ δύο τελευταῖα τοῦ τεύχους φύλλα εἰσὶ παλίμψηστα, ἡ δ' ἀπαλειφθεῖσα γραφὴ τῆς Θ′ ἑκατονταετηρίδος.

194. [57].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,28, πλάτ. 0,21, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 395. Περιέχει τὰς αὐτὰς περικοπάς, ἔχον καὶ δύο εἰκόνας τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, ὧν ἡ πρώτη ἀχρωμάτιστος. Ἐν τῷ φύλλῳ 3β ἀπαντᾷ τὸ σημείωμα τοῦτο: « + Ἐχειροτονήθη ὁ πανιερώτατος μητροπολίτης Ναυπάκτου κῦρις Θεοδώσιος μηνὶ σεπτεμβρίῳ κϛ′ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἡμέρα Κυριακῇ τοῦ ,ϛϡξ′ (+ 1452) ἔτους τῆς νῦν τρεχούσης Ἰνδικτιῶνος ε′, ἡλίου κύκλους ἐπέχοντος κ′ καὶ σελήνης ι′»· ἐν δὲ τῷ 4α τοῦτο: « + Ἐκημήθη ὁ πανιερώτατος μητροπολίτης Ναυπάκτου κῦρις Μαρτύριος ἐπὶ ἔτους ,ϛϡμε′ (+ 1437) Ἰνδικτιῶνος ιε′ μηνὶ Φεβρουαρίῳ ιδ′ ἡμέρα ε′ ὥρα ἕκτη τῆς ἡμέρας»· καὶ παρακατιών: « + ἐκοιμήθη δὲ καὶ ὁ τούτου ὑποτακτικὸς καὶ ἡγούμενος τῆς Θεοτόκου τῆς Κορακοννησαίας καὶ πατὴρ ἡμῶν κῦρις Γερόντιος μηνὶ Ἰουλίῳ ἑνδεκάτῃ τοῦ ,ϛϡξε′ (+ 1437) ἔτους τῆς νῦν τρεχούσης Ἰνδικτιῶνος ι′ τοῦ ἡλίου κύκλους ἐπέχοντος κα′ καὶ τῆς σελήνης ἑνδέκατον ἡμέρα β′, ὥρα ζ′ ταύτης»·

195. [58].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,27, πλάτ. 0,21, γεγραμμένον καλλιγραφικώτατα κατὰ τὸ ἔτος 1536 καὶ κατ' ἀπομίμησιν γραφῆς ἀρχαιοτέρας, ἐκ φύλλων δὲ συγκείμενον 396. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπάς. Ἐν τῷ προτελευταίῳ φύλλῳ ἀπαντᾷ τὸ σημείωμα τόδε: «Θεοῦ τὸ δῶρον· καὶ πόνος Ἰωάννου ἱερέως, τοῦ κατὰ κόσμον Εὐλογημένου, καὶ Οἰκονόμου Ἄρτης. Ἐτελειώθη ἐν τῷ ,ςμδ' (+1536) ἔτος· ἐν μηνὶ Ἀπριλλίω Ἰνδικτιῶνος θ'.— + οἱ δὲ μετερχόμενοι ταύτη τῇ βίβλω, εὔχεσθαι κἀμοῦ τοῦ γεγραφῶτος πάντες, ὅπως θεὸν ἵλεων εὕροιμι τότε, ἐν τῇ φοβερᾶ καὶ ἀδεκάστω κρίσει»· ἐν δὲ τῷ ἑπομένῳ τοῦτο: «Ἐν ἔτει ἀπὸ Χριστοῦ αχο', τὸν μῆναν τὸν ὀκτώβριον ἦλθεν ὁ Εὐγένιος ἱερομόναχος ἀπὸ τοὺς Κωστακέους εἰς τὸ μοναστήριον εἰς τὴν Κορακονησαῖαν καί ἀνήγειρεν αὐτὴν, καὶ ἔκτισε τὰ κελλία καὶ ἐσυμμάζωξε μοναχοὺς καὶ ἱερομονάχους· τὸ αὐτὸ ἔτος ἔκαμε καὶ τὴν Φανερομένην μετόχιον εἰς τὸ μοναστήριον ὁποῦ κεῖται ἄνωθεν τοῦ Ὀφρυνί· · · ·ους».

196. [59].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,26, πλάτ. 0,21, γεγραμμένον περὶ τελευτῶσαν τὴν ΙΕ' ἑκατονταετηρίδα, ἐκ φύλλων δὲ 206 συγκείμενον, ἀλλ' ἐλλιπὲς τοῦ τέλους. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπάς.

197. [60].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,20, πλάτ. 0,15, ἐκ φύλλων 341 συγκείμενον, σύγχρονον δὲ τῷ προηγουμένῳ καὶ τὰς αὐτὰς περικοπὰς περιέχον.

198. [61].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,23, πλάτ. 0,17, ἐκ φύλλων συγκείμενον 342, σύγχρονον καὶ τοῦτο τῷ προηγουμένῳ καὶ τὰς αὐτὰς περικοπὰς περιέχον.

199. [62].

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλάτ. 0,18, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 292. Περιέχει τὰς καθ' ὅλον τὸν ἐνιαυτὸν ἀναγινωσκομένας ἐν τῇ Ἐκκλησίᾳ περικοπὰς τῶν Ἀποστόλων καὶ Εὐαγγελίων μετὰ καὶ τῶν σημαδοφώνων.

200. [63].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,28, πλάτ. 0,21, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 340, ἐλλιπὲς ὅμως τῆς τε ἀρχῆς καὶ τοῦ τέλους· ἱκανὰ δὲ καὶ ἐκ τοῦ μέσου ἐξερρύησαν φύλλα. Περιέχει, ὡς τὸ προηγούμενον, τὰ Ἀποστολο-ευαγγέλια τοῦ ἐνιαυτοῦ. Ἐν τῷ τελευταίῳ φύλλῳ ἀναγινώσκεται: «Ὁ εὐλαβὴς ἱερεὺς κῦρις Μιχαὴλ ὁ Δαμασκηνὸς», ἀντιγραφεὺς ἴσως ἢ κτήτωρ τοῦ τεύχους.

201. [64].

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλάτ. 0,15, ἐκ φύλλων συγκείμενον 32. Περιέχει τὰ Ἀπόστολο εὐαγγέλια. Ἐν τῷ τέλει φέρεται τὸ σημείωμα τόδε: «Τέλος καὶ τῷ θεῷ δώξα: —Ἐτελιώθηκαν τὰ παρὸν ἀποστολοεὐάγγελα τοῦ ὅλου ἐνιάυτοῦ· διαχειρὸς ἐμου

Νικηφόρου ἱερομονάχου Στάμενα, καὶ συγχωράτε μου καὶ ἐμένα· διατῶν ἀμέτρων μου σφαλμάτων· ἐτελιώθη εἰς ἔτος σωτήριον 1732 ὀκτωβρίου 9».

202. [65].

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλάτ. 0,22, ἐκ φύλλων 68 συγκεκαττυμένον ἐκ διαφόρων τεμαχίων περγαμηνῆς ὅλως ἀσυναρτήτων πρὸς ἄλληλα, διάφορον δ' ἐχόντων τήν τε ἡλικίαν καὶ τὸν τῆς γραφῆς χαρακτῆρα καὶ τῶν πλείστων διεφθορότων. Περιέχει δὲ εὐαγγελικὰς περικοπὰς μετὰ σημαδοφώνων ἐπὶ μόνων τῶν ἀρχαιοτέρων φύλλων, γραφὴν ἐμφαινόντων τῆς ΙΒ' ἑκατονταετηρίδος.

203. [66].

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλάτ. 0,20, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 270, ἀλλ' ἐλλιπὲς τῆς τε ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει: Ἑρμηνείαν εἰς τὰ κατὰ Ματθαῖον καὶ Ἰωάννην Εὐαγγέλια.

204. [67].

Τεῦχος περγαμηνὸν μήκ. 0,32, πλάτ. 0,23, περὶ τὴν Ι' ἑκατονταετηρίδα πιθανῶς γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 153, ἐλλιπὲς ὅμως ἐν τῷ τέλει. Φύλλα τινὰ ἐξερρύησαν καὶ ἐκ τοῦ μέσου. Περιέχει: Ἑρμηνείαν εἰς τὰ τέσσαρα Εὐαγγέλια. Καὶ τὸ μὲν κείμενον τῶν Εὐαγγελίων ἐστὶ καλλιγραφικώτατα γεγραμμένον λεπτοῖς γράμμασιν ἐν τῷ τοῦ τεύχους ἐδάφει, ἡ δ' Ἑρμηνεία ἐν τῇ ᾤᾳ αὐτοῦ διὰ λεπτοτέρων. Παρίστησι δ' αὕτη ἐν τοῖς πλείστοις τῶν φύλλων σχῆμα σταυροῦ, ἑκατέρωθεν δὲ τῶν κεράτων αὐτοῦ γέγραπται κιονηδὸν τὸ τοῦ δεξιωτάτου ἀληθῶς ἀντιγραφέως ὄνομα διὰ τῶν στίχων τούτων:

«Σύ, τῷ μοναχῷ καὶ γραφεῖ βίβλου, Λόγε,
Νεοφύτῳ, πάρασχε τὴν σωτηρίαν»,

οἵ καὶ ἐναλλὰξ ἀντικαθίστανται ὁτὲ μὲν διὰ τούτων:

«Ἀρωγὸς αὐτὸς τῷ κεκτημένῳ, Λόγε,
Τὴν βίβλον, ἔλθοις ἡμέρᾳ τῇ τῆς δίκης»,

ὁτὲ δὲ διὰ τῶν πεζῶν τούτων: «Θεοτόκε βοήθει Νεοφύτῳ μοναχῷ, πρεσβυτέρῳ καὶ κατηχητῇ τῷ γράψαντι τὴν βίβλον ταύτην» καὶ ἄλλοτε πάλιν διὰ τούτων: «Ἰωάννη πρόδρομε, μοναστὴς Νεόφυτος οἰκέτης, σεμνῶν γυναικῶν μυσταγωγός, σὸς θύτης, τῶν πταισμάτων εὔροιμοι λύσιν, παρθένε, καθ' ἣν βροτοὶ δίδουσιν ἡμέραν δίκην».

205. [68].

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλατ. 0,22, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 218. Περιέχει τὰς περικοπὰς τῶν καθ' ὅλον τὸν ἐνιαυτὸν ἀναγινωσκομένων Ἀποστόλων μετὰ σημαδοφώνων.

206. [69].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,15, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 347, ἐλλιπὲς ὅμως ἔν τε τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει καὶ τοῦτο τὰς αὐτὰς περικοπὰς τῶν Ἀποστόλων.

207. [70].

Τεῦχος ἐκ λεπτοτάτης περγαμηνῆς μήκ. 0,16, πλάτ. 0,12. κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 321 συγκείμενον, ὧν τὰ πρῶτα ὅλως διεφθορότα. Περιέχει Ἑρμηνείαν εἰς τὰς Πράξεις, εἰς τὰς Ζ' Καθολικὰς Ἐπιστολὰς καὶ εἰς τὰς ΙΔ' τοῦ Παύλου λεπτεπιλέπτοις χαρακτῆρσι γεγραμμένην. Ἔστι δὲ τὸ τεῦχος τοῦτο ἐκ τῶν καλλίστων τῆς ἡμετέρας Βιβλιοθήκης. Ἐν τῷ τέλει φέρεται τὸ σημείωμα τόδε: «Ἐγράφη διὰ χειρὸς Κοσμᾶ βασιλικοῦ κληρικοῦ κουβουκλησίου καὶ ψάλτου τῆς μεγάλης Ἐκκλησίας ὁ πραξαπόστολος οὕτως μηνὶ αὐγούστου ή... ας ή. Ἰνδικτιῶνος ϛ'. εὔχεσθαι οἱ ἀναγινώσκοντες ἁμαρτωλῶν Κοσμᾶν τὸν Βατοπαιδινόν».

208. [71].

Τεῦχος περγαμηνὸν μήκ. 0,19, πλάτ. 0,13, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 273. Περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς ΙΔ' Ἐπιστολὰς τοῦ Παύλου καὶ τὰς τοῦ Πέτρου, Ἰωάννου καὶ Ἰούδα Καθολικὰς μετὰ τῶν εἰς αὐτὰς Ὑπομνημάτων τοῦ Οἰκουμενίου.

209. [72].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 250 συγκείμενον. Περιέχει τὰς Πράξεις τῶν Ἀποστόλων, τὰς Ἐπιστολὰς τοῦ Παύλου (πλὴν τῆς πρὸς Καλασσαεῖς) καὶ τὰς Ζ' Καθολικάς· ἐν δὲ τῷ τέλει καὶ ταῦτα: Τῶν δώδεκα Ἀποστόλων τὰ ὀνόματα· καὶ ποῦ ἐκήρυξαν τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ· καὶ ποῦ ἐτελειώθησαν. Ἐν τῷ φύλλῳ 247ᵃ φέρεται ἡ ἑξῆς σημείωσις τοῦ τὸ τεῦχος ἀντιγράψαντος: «Ἐγεγόνει ἡ παροῦσα δέλτος αὕτη διὰ συνεργίας, κόπου τε καὶ ἐξόδους Ῥετιοντινοῦ πατρικίου τῇ κλήσει, ἄζυγος τὲ καὶ ἱερομονάχου τοῦ Βαρλαάμ· διὰ δὲ χειρὸς καμου του ἁμαρτωλοῦ Κωνσταντίνου τοῦ Ἀλεξοπούλου· ἐν τῷ ,ϛωοβ' (+ 1364) ἰνδικτιῶνος β'. δέομαι δὲ καὶ ἀντιβολῶ ὑμᾶς τοὺς ἐφεξῆς μέλλοντας ἐχειρεῖν καὶ ἀναγινώσκειν τὰ ψυχοφελῆ αὐτῆς ἐκτυπώματα ἅ παρα τὸν πανενδόξων ἀποστόλων εν τῇ θεῖα καὶ ἱερὰ καθολικῇ ἁγία ἐκκλησία κατετυπώθησαν ταῖς αὐτῶν τῶν πανενδόξων ἀποστόλων πρεσβείαις τὰ ἐμὰ σφάλματα ὡς θεωρεῖτε εἰς τὸ κρεῖττον ἐκδιορθώσατε· κἀμὲ δὲ εὔχεσθαι διὰ τὸν κύριον· ὅπως ἐν τῇ ἡμέρα ἐκείνη τῶν αἰωνῖον βασάνων ῥυσθήσομαι· τῆς δὲ ἐκ δεξιῶν τοῦ σωτῆρος ἐπιτύχω χάριτος πρεσβείαις τῶν ἐνδόξων ἀποστόλων τῆς θεοτόκου καὶ πάντων τῶν ἁγίων»: — «Ὁ δέ γε ἀνακαινισμὸς τῆς παρούσης νῦν βίβλου ἐγεγόνη διὰ χειρὸς ἐμοῦ· τοῦ εὐτελοῦς καὶ ἀμαθοῦς Νικολάου υἱοῦ παπᾶ Μιχαὴλ τοῦ Ἁγιομνήτη ἐν τῷ ,ϛϡοα' (+ 1463) καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαί μοι δυσσωπῶ διὰ τὸν κύριον ἔρρωσθαι — διὰ συνδρομεῖς καὶ ἐξόδους κυροῦ Ἰλνούλη τοῦ Στανίσα ἐν μηνὶ σεπτεβρίῳ κθ' εἰς τοὺς ,αχξγ'».

Γ'.

ΠΑΤΕΡΕΣ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΙ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

210.

Τεῦχος περγαμηνὸν μήκ. 0,38, πλ. 0,25, κατὰ φθίνουσαν ἴσως τὴν Θ' ἢ γοῦν ἀρχομένην τὴν Ι' ἑκατονταετηρίδα ἄριστα κεκαλλιγραφημένον, ἔχον καὶ τὰ ἀρκτικὰ στοιχεῖα ποικίλοις σχήμασι καὶ χρώμασιν ἐξειργασμένα, ἐκ φύλλων δὲ 478 συγκείμενον. Περιλαμβάνει Ἰωάννου τοῦ Χρυσοστόμου Λόγους ΛΘ', ὧν ὁ τελευταῖος μικρόν ἐστιν ἐλλιπὴς ἐν τῷ τέλει. Ἐν τοῖς φύλλοις 4 καὶ 5 ὑπῆρχον εἰκόνες, ὑπὸ ἱεροσύλου χειρὸς ἀποκοπεῖσαι, ἐν δὲ τοῖς φύλλοις 93 καὶ 94 ὑπάρχουσιν ὁλόσωμοι αἱ εἰκόνες τοῦ Χρυσοστόμου καὶ Παύλου τοῦ Ἀποστόλου, ἀλλ' οὐχὶ κεκαλλιτεχνημέναι.

211.

Τεῦχος περγαμηνὸν μήκ. 0,37, πλ. 0,25, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 314, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει Ὁμιλίας τοῦ Χρυσοστόμου, ἀρχομένας ἀπὸ τῆς ΝΗ'—Ρ'· ἐξ οὗ γίνεται δῆλον ὅτι προηγεῖτο καὶ ἕτερον τεῦχος, περιλαμβάνον τὰς προτέρας ΝΖ' Ὁμιλίας. Ἐν ταῖς τῶν Λόγων ἀρχαῖς ἔχει διάφορα πρόσωπα καὶ σχήματα ποικίλοις χρώμασιν ἐξειργασμένα.

212.

Τεῦχος περγαμηνὸν μήκ. 0,42, πλ. 0,26, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 202 συγκείμενον. Περιέχει ΝΑ' Ὁμιλίας τοῦ Χρυσοστόμου. Ἐν τῷ φύλλῳ 3α φέρονται οἱ ἑξῆς στίχοι κεφαλαίοις γράμμασι γεγραμμένοι :

Ἀνενδεὴς ὢν ὡς Θεὸς, πλαστουργέ μου,
Καὶ τὰς παρ' ἡμῶν οὐκ ἀπωθεῖς θυσίας·
Δέχῃ δὲ ταύτας μὴ βλέπων πρὸς τὸ πλέον·
Μόνην ταλα[ν]τεύων δὲ τὴν γνώμην ὅση,
Οὕτως ἐδέξω, Σῶτερ, αἰγείας τρίχας (;),
Καὶ λεπτὰ χεῖρας [γρ, χήρας], καὶ ποτήριον κρύον,
Ὄντως τὰ μικρὰ καὶ τὰ μηδενὸς λόγου.
Ἀλλ', ὦ θεωρὲ, καὶ νεφρῶν καὶ καρδίας,
Τὴν πίστιν οἶδας, τὴν προαίρεσιν δέχου,
Καὶ μὴ παρόψῃ βίβλον, ἣν σοι προσφέρω
Λέων ὁ πατρίκιος καὶ λογοθέτης
Ἐν τῷ νεουργηθέντι ναῷ σοι πόθῳ,
Βίβλον καταρτίζουσαν εἰς θεῖον φόβον
Τὴν εὐσεβῆ σου καὶ σοφὴν κληρουχίαν.
Αὐτὸς δὲ μισθὸν ἀντίδος μοι σὴν σκέπην,
Λυτρουμένην με συμφορῶν τῶν ἐν βίῳ·
Κἀκεῖ δέ με γράφουσαν εἰς θείας βίβλους,
Ἐν αἷς ἀπεγράφησαν οἱ σεσωσμένοι.

Ὑμεῖς ὅσοι δὲ κλῆρος ἐστὲ Κυρίου,
Τὴν παιδαγωγὸν καὶ ὠφελῆ βίβλον
Ταύτην ἀναπτύσσοντες ἀντιμισθείαν (οὕτω)
Παιδεύσεως τὴν ἔνθεν εὐχήν μοι δότε,
Ὅρον δὲ καὶ πρόγραμμα συντηρητέον,
Ὅνπερ τίθημι τοῦτον εὐσεβεῖ κρίσει,
Μὴ τῶν πυλῶν ἔξωθεν ἐκφέρειν ὅλως
Τὴν βίβλον, ἣν ἔθηκα ταύτην ἐκ πόθου
Ἐν τῷ σεβαστῷ τοῦ Θεοῦ τούτῳ δόμῳ.
Ὅστις δὲ τοῦτον οὐ φυλάξει τὸν λόγον,
Ἕξει παρ' αὐτοῦ τοῦ Θεοῦ καὶ Δεσπότου
Ἀρὰν, κάκωσιν, καὶ πονηρὰν ἡμέραν.

213.

Τεῦχος περγαμηνὸν μήκ. 0,34, πλ. 0,24, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 220 συγκείμενον. Περιέχει: Γρηγορίου τοῦ Θεολόγου Λόγους ΙΕ'. Ἔχει δὲ τὰ ἀρκτικὰ στοιχεῖα χρυσῷ καὶ ποικίλοις χρώμασιν ἐξειργασμένα.

214.

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλ. 0,14, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 281 συγκείμενον, ἀλλ' ἐλλιπὲς δύο φύλλων ἐν τῷ τέλει. Περιέχει Γρηγορίου τοῦ Θεολόγου Λόγους ΙϚ'· μεθ' οὓς: Βασιλείου τοῦ μεγάλου Λόγους Δ' καὶ Ἐπιστολὰς δύο, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου Λόγους Β'.

215.

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλ. 0,21, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 187 συγκείμενον. Περιέχει Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις ΡΚΓ'.

216.

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλ. 0,24, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 95 συγκείμενον, ἀλλ' ἐλλιπέστατον ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει τοῦ Χρυσοστόμου Ὁμιλίας, ὧν ἐξεῤῥύησαν ἐκ μὲν τῆς ἀρχῆς ΙΓ' ὅλαι καὶ ἡ ἀρχὴ τῆς ΙΔ', ἐκ δὲ τοῦ τέλους ἄδηλον πόσαι· ὥστε τὰ περιλαμβανόμενα νῦν ἐν αὐτῷ εἶναι τὰ περιλειπόμενα τῆς ΙΔ' καὶ ἐξῆς αἱ ΙΕ' ἕως τῆς ΚΕ' ἀτελοῦς.

217.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,31, πλ. 0,20, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 420 συγκείμενον. Περιέχει Λόγους πανηγυρικοὺς εἴτε ἑορταστικοὺς τῶν ἐξῆς ἐκκλησιαστικῶν Πατέρων καὶ ἑτέρων συγγραφέων: Ἀνδρέου Κρήτης, Ἀναστασίου Σιναΐτου, Πρόκλου Κωνσταντινουπόλεως, Τιμοθέου πρεσβυτέρου Ἀντιοχείας, Ἰωάννου Δαμασκηνοῦ, Γρηγορίου Παλαμᾶ, Θεοδώρου Στουδίτου, Κοσμᾶ Βεστίτορος, Ἀλεξάνδρου Μοναχοῦ, Παντολέοντος πρεσβυτέρου, Νικήτα ῥήτορος καὶ φιλοσόφου, Εὐθυμίου, Ἰωάννου Σταυρακίου, Γεωργίου Νικομηδείας, Μιχαὴλ Συγκέλλου, Θεοφυλάκτου Βουλγαρίας, Γεωργίου Χαρτοφύλακος, Γερμανοῦ Κωνσταντινουπόλεως, Ἀθανασίου Ἀλεξανδρείας, Ἰωάννου Χρυσοστόμου, Βασιλείου Σελευκείας, Γρηγορίου Νύσσης, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου Νεοκαισαρείας, Ἰωάννου Εὐχαΐτων, Ἀμφιλοχίου Ἰκονίου καὶ Μεθοδίου Πατάρων.

218.

Τεῦχος περγαμηνὸν μήκ. 0,28, πλ. 0,23, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 95, ἐλλιπέστατον ὅμως ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει Χρυσοστόμου τὰς εἰς τοὺς ἀνδριάντας Ὁμιλίας. Ἀλλ' ἐκ τῆς ἀρχῆς ἐξερρύησαν φύλλα 172, ἤτοι αἱ πρῶται ΙΒ' Ὁμιλίαι, καὶ ἐκ τοῦ τέλους τὸ ἥμισυ τῆς Κ' (ΚΑ' κατὰ τὰς ἐκδόσεις).

219.

Τεῦχος περγαμηνὸν μήκ. 0,26, πλ. 0,20, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 50, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει δὲ τὸ τεῦχος Ἀδήλου (ἴσως τοῦ Σερρῶν Νικήτα) λείψανα Σχολίων εἰς τοὺς Λόγους Γρηγορίου τοῦ Ναζιανζηνοῦ.

220.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,27, πλ. 0,21, κατὰ τὸ ,ϛωοα' (+ 1362) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 387 συγκείμενον. Περιέχει τοῦ Χρυσοστόμου Ὁμιλίας εἰς τὴν Γένεσιν ΞΖ' ἀπὸ τῆς ΛΑ' ἀρχομένας.

221.

Τεῦχος περγαμηνὸν μήκ. 0,25, πλ. 0,20, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 267 συγκείμενον. Περιέχει τὰς Κατηχήσεις Θεοδώρου τοῦ Στουδίτου καὶ τὴν Διαθήκην αὐτοῦ.

222.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,31, πλ. 0,20, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 246 συγκείμενον. Περιέχει Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις ΡΙϚ', ἐξ ὧν λείπει ἡ Α'. Ἕπονται δὲ μετ' αὐτὰς αἱ Πράξεις τῶν Ἀποστόλων, αἱ ΙΔ' Ἐπιστολαὶ τοῦ Παύλου καὶ αἱ Ζ' Καθολικαὶ Ἰακώβου, Πέτρου, Ἰωάννου καὶ Ἰούδα.

223.

Τεῦχος περγαμηνὸν μήκ. 0,25, πλ. 0,18, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 283 συγκείμενον. Περιέχει τὰς Ἀσκητικὰς Διατάξεις Βασιλείου τοῦ μεγάλου. Ἔστι δὲ ὅλον ἀπ' ἀρχῆς ἕως τέλους παλίμψηστον, τῆς προτέρας γραφῆς αὐτοῦ ἀναγομένης εἰς τὴν Η' ἑκατονταετηρίδα, καί, ὡς ἔντισιν ἐξιχνιάσαμεν μέρεσιν, οὐδὲν ἄλλο οὔσης ἢ αὐταὶ αὗται πάλιν αἱ Ἀσκητικαὶ Διατάξεις· τοῦθ' ὅπερ τοιαύτην, καθ' ἡμᾶς, ἐπιδέχεται ἐξήγησιν, ὅτι δηλαδὴ δυσχερῶς ἀνεγινώσκοντο ἤδη ἐν τοῖς ὑστέροις χρόνοις τὰ κεφαλαίοις γράμμασι γεγραμμένα βιβλία.

224.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,42, πλ. 0,31, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 155 συγκείμενον. Περιέχει ἐν ἀρχῇ μὲν Λόγους πανηγυρικοὺς εἴτε ἑορταστικοὺς τῶν ἐφεξῆς Πατέρων: Ἰωάννου Δαμασκηνοῦ, Σωφρονίου Ἱεροσολύμων, Ἀλεξάνδρου μοναχοῦ καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. Εἶθ' οὕτως ἕπονται: Βίοι καὶ Μαρτύρια τῶν κατὰ τοὺς μῆνας Σεπτέμβριον καὶ Ὀκτώβριον ἁγίων, ὧν τὴν μνήμην ἄγει ἡ Ἐκκλησία.

225.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,25, πλ. 0,16, κατὰ τὴν ΙΕ' ἑκα-

τονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 226, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει Μαξίμου τοῦ Ὁμολογητοῦ: Ζητήσεις περὶ τῶν ἐκκλησιαστικῶν δογμάτων.

226.

Τεῦχος περγαμηνὸν μήκ. 0,35, πλ. 0,26, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 414, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει τοῦ Χρυσοστόμου Λόγους ΝΕ', Ἰωάννου Δαμασκηνοῦ, Νεκταρίου Κωνσταντινουπόλεως, Ἐπιφανίου Κύπρου, Γρηγορίου Ἀντιοχείας, Γεωργίου Πρεσβυτέρου, Ἀνδρέου Κρήτης ἀνὰ ἕνα, καὶ τέλος Κοσμᾶ τοῦ Βεστήτορος Βίον καὶ πολιτείαν τοῦ Χρυσοστόμου. Ἐν τοῖς πρώτοις 8 φύλλοις περιλαμβάνονται τὰ περιλειπόμενα τοῦ Α' Λόγου.

227.

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλ. 0,16, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 62, ἐλλιπέστατον ὅμως ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει· ὀκτὼ γὰρ καὶ ἥμισυ περιελείφθησαν φύλλα ἐκ τοῦ ϛ' Λόγου Γρηγορίου τοῦ Ναζιανζηνοῦ, καθ' ἣν εἶχε τάξιν τὸ χειρόγραφον. Τελευτᾷ δὲ εἰς τὴν ἀρχὴν τοῦ Θ' Λόγου, τοῦ εἰς Καισάριον τὸν ἀδελφὸν ἐπιταφίου.

228.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,31, πλ. 0,21, κατὰ τὸ ‚ζρι' (+ 1602) ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ 686 συγκείμενον. Περιέχει Ἐφραὶμ τοῦ Σύρου Λόγους ΡΙΘ' εἰς δύο βιβλία διῃρημένους· μεθ' οὓς ἕπεται: Παλλαδίου Ἑλενουπόλεως τὸ Λαυσαϊκόν.

229.

Τεῦχος περγαμηνὸν μήκ. 0,32, πλ. 0,25, περὶ τὴν ΙΔ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένον κατ' ἀπομίμησιν γραφῆς ἀρχαιοτέρας, ἐκ φύλλων δὲ 310 συγκείμενον. Περιέχει τοὺς Λόγους Ἰωάννου τοῦ τῆς Κλίμακος, μεθ' οὓς: Βασιλείου τοῦ μεγάλου Λόγους Δ', Σωφρονίου Ἱεροσολύμων Α', καὶ Ἰωάννου τοῦ Χρυσοστόμου Α'.

230.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,25, πλ. 0,18, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 408 συγκείμενον. Περιέχει καὶ τοῦτο τοὺς αὐτοὺς τῷ ἀνωτέρω Λόγους Ἰωάννου τοῦ τῆς Κλίμακος· μεθ' οὓς: Βασιλείου ἐπισκόπου Ἐμέσης Βίον τοῦ ὁσίου Θεοδώρου μητροπολίτου Ἐδέσσης· τοῦ αὐτοῦ Θεοδώρου Κεφάλαια Ἀσκητικὰ Ρ'· τοῦ ὁσίου Μαξίμου Κεφάλαια περὶ ἀγάπης ἑκατοντάδας Δ' καὶ Ἰωάννου Ἱεροσολύμων Βίον Ἰωάννου τοῦ Δαμασκηνοῦ.

231.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,30, πλ. 0,21, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 408 συγκείμενον. Περιέχει Λόγους πανηγυρικοὺς διαφόρων Πατέρων καὶ Βίους ἁγίων· ἐπιπλέον δὲ Κοσμᾶ τοῦ Βεστήτορος: Ἐγκώμια Ε' εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ θείου Χρυσοστόμου.

232.

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλ. 0,22, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 293 συγκείμενον. Περιέχει Ὁμιλίας

ΙΕ' τοῦ Χρυσοστόμου,ἐξ ὧν ἐξεῤῥύησαν ἐκ τῆς ἀρχῆς ἡ Α' καὶ ἡ ἀρχὴ τῆς Β'.

233.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,29, πλ. 0,21, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 217, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει Ὁμιλίας ΙΔ' τοῦ Χρυσοστόμου.

234.

Τεῦχος περγαμηνὸν μήκ. 0,32, πλ. 0,22, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 225 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει Ὁμιλίας ΚΒ' τοῦ Χρυσοστόμου.

235.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,34, πλ. 0,25, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα καλῶς καὶ εὐκρινῶς γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 289, ἐλλιπὲς ὅμως ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει Γρηγορίου τοῦ Θεολόγου Λόγους ΙΕ', ἐξ ὧν περιελείφθη τὸ τέλος τοῦ Α'.

236.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 0,22, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 350 συγκείμενον. Περιέχει ΛϚ' Ὁμιλίας καὶ Λόγους Βασιλείου τοῦ μεγάλου.

237.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,27, πλ. 0,20, περὶ τὴν ΙΔ' τελευτῶσαν ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 314, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει Ὁμιλίας ΞΔ' Γρηγορίου τοῦ Παλαμᾶ.

238.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 0,18, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα καθαρῶς καὶ καλῶς γεγραμμένον, ἐκ φύλλων δὲ 372 συγκείμενον. Περιέχει τοὺς Λόγους Ἰωάννου τοῦ τῆς Κλίμακος.

239.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 0,20, κατὰ τὸ ,ϛχνβ' (+ 1144) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 197 συγκείμενον. Περιέχει Βασιλείου τοῦ μεγάλου τὰς Ἀσκητικὰς Διατάξεις.

240.

Τεῦχος περγαμηνὸν μήκ. 0,39, πλ. 0,28, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 222, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει τοῦ Χρυσοστόμου Ὁμιλίας ἀπὸ τῆς ΛΑ', ἧς μόνον τὸ τέλος ἀπελείφθη, μέχρι τῆς ΞΕ'.

241.

Τεῦχος περγαμηνὸν μήκ. 0,38, πλ. 0,28, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 194, οὗ ἐκ μὲν τῆς ἀρχῆς ἀπέσχισται τὸ πρῶτον φύλλον, ἐκ δὲ τοῦ τέλους ἐξεῤῥύησαν ἱκανά. Περιέχει τοῦ Χρυσοστόμου τὰς εἰς τὰς Πράξεις τῶν Ἀποστόλων Ὁμιλίας μέχρι τοῦ κεφ. ΚΔ' ἐδαφ. 18.

242.

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλ. 0,21, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 238 συγκείμενον, ὧν τὰ τελευταῖα 5 εἰσὶν ἐκ χάρτου. Περιέχει Λόγους τῶν ἑξῆς Πατέρων: Γρηγορίου τοῦ Θεολόγου, Ἀμφιλοχίου, Βασιλείου τοῦ μεγάλου, Χρυσοστόμου, Σωφρονίου Ἱερο-

σολύμων, Ἀνδρέου Κρήτης, Νεκταρίου Κωνσταντινουπόλεως, Ἐφραὶμ τοῦ Σύρου, Ἀθανασίου Ἀλεξανδρείας, Ἐπιφανίου Κύπρου, Προκοπίου διακόνου καὶ χαρτοφύλακος, καὶ Λέοντος βασιλέως τοῦ Σοφοῦ.

243.

Τεῦχος περγαμηνὸν μήκ. 0,38, πλ. 0,27, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 312 συγκείμενον. Περιέχει τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸν Εὐαγγελιστὴν Ματθαῖον.

244.

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλ. 0,23, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 260 συγκείμενον. Περιέχει τοῦ Χρυσοστόμου Ὁμιλίας Λ' εἰς τὴν Ἑξαήμερον.

245.

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλ. 0,21, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων συγκείμενον 588, ὧν τὰ μὲν πρῶτα 66 καὶ τὰ ἀπὸ τοῦ 247 φύλλου καὶ ἐφεξῆς εἰσιν ἐκ χάρτου τουρκικοῦ, προςτεθέντα εἰς ἀναπλήρωσιν τῶν λειπόντων, γεγραμμένα δὲ κατὰ τὸ ,ζπϛ' (+ 1578) ἔτος, ὡς σημειοῦται ἐν τῷ τέλει. Περιέχει τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸν Εὐαγγελιστὴν Ἰωάννην ἐν Ὁμιλίαις ΠΗ'.

246.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,31, πλ. 0,21, κατὰ τὸ ,ζμη' (+ 1539) ἔτος γεγραμμένον, ὡς ἐν τῷ τέλει σημειοῦται, ἐκ φύλλων δὲ 201 συγκείμενον. Περιέχει Γρηγορίου τοῦ Θεολόγου Λόγους Ιϛ'.

247.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0.21, πλ. 0,15, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 352, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς, ἐξ ἧς περιελείφθη ἓν καὶ ἥμισυ φύλλον, τὸ τέλος περιλαμβάνον τοῦ Α' λόγου. Περιέχει Γρηγορίου τοῦ Θεολόγου Λόγους τινάς. Ἀπὸ δὲ τοῦ φύλλου 235 ἕως τέλους εἰσὶν ἄλλης πρεσβυτέρας χειρὸς ἔργον, γεγραμμένον κατὰ τὸ ,ϛωκη' (+ 1320) ἔτος, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐπιγεγραμμένον δὲ: Σύνοψις ἀκριβεστάτη τῆς ἀμωμήτου πίστεως τῶν χριστιανῶν, συλλεγεῖσα ἀπὸ διαφόρων ἁγίων Πατέρων. Ἄδηλον τίς ὁ συλλογεύς.

248.

Τεῦχος περγαμηνὸν μήκ. 0,22, πλ. 0,17, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 363 συγκείμενον. Περιέχει Γρηγορίου τοῦ Θεολόγου Ὁμιλίας ΙΕ'.

249.

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλ. 0,19, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 335 συγκείμενον. Περιέχει Ἐφραὶμ τοῦ Σύρου Λόγους καὶ Παραινέσεις.

250.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,31, πλ. 0,23, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 246 συγκείμενον. Περιέχει Ἐκλογὰς ἠθικῶν καὶ νηπτικῶν ἀναγνωσμάτων παρεκβεβλημένων ἀπό τε τοῦ Χρυσοστόμου καὶ ἄλλων Πατέρων τῆς Ἐκκλησίας.

251.

Τεῦχος περγαμηνὸν μήκ. 0,32, πλ. 0,24, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 245 συγκείμενον. Περιέχει: Ὁμιλίας τοῦ Χρυσοστόμου εἰς τὴν Γένεσιν ἀπὸ τῆς ΛΑ' μέχρι τῆς ΞΕ'.

252.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,41, πλ. 0,30, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 214, ὧν τὰ τελευταῖα 8 εἰσὶν ἀπεσχισμένα. Περιέχει Λόγους ΞΓ', ὧν οἱ πλείους εἰσὶ τοῦ Χρυσοστόμου, οἱ δὲ λοιποὶ Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, Γρηγορίου Νύσσης, Ἀνδρέου Κρήτης, Ἰωσὴφ Θεσσαλονίκης, καὶ ἐπιπλέον Βίους καὶ Μαρτύρια ἁγίων.

253.

Τεῦχος περγαμηνὸν μήκ. 0,33, πλ. 0,23, περὶ τὴν Ι' τελευτῶσαν ἢ γοῦν ἀρχομένην τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 309, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχει τοῦ Χρυσοστόμου Ὁμιλίας ΜΕ'.

254.

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλ. 0,17, περὶ τὰ τέλη τῆς ΙΒ' ἑκατονταετηρίδος γεγραμμένον, ἐκ φύλλων δὲ 207 συγκείμενον. Περιέχει Λόγους ΙϚ' Γρηγορίου τοῦ Θεολόγου.

255.

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλ. 0,18, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 240 συγκείμενον. Περιέχει Λόγους ΙϚ' Γρηγορίου τοῦ Θεολόγου.

256.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλ. 0,21, κατὰ τὸ ,ζπε' (+ 1577) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 341 συγκείμενον. Περιέχει: Τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Χαλκηδόνος τοῦ καὶ ἄλλως Ἀγαπητοῦ ἐπονομαζομένου Ὁμιλίας εἰς τὰς κυριακὰς τοῦ ἐνιαυτοῦ. Εἰσὶ δὲ αὗται ἀνέκδοτοι, ἀλλὰ καὶ ὡς συγγραφεὺς ὁ πατριάρχης οὗτος πρῶτον ἤδη γνωρίζεται. Ἐν τέλει δὲ ἔχει καὶ Ἐφραὶμ τοῦ Σύρου: Λόγον εἰς Ἰωσὴφ τὸν Πάγκαλον.

257.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,28, πλ. 0,20, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 284 συγκείμενον. Περιέχει: Ὑποθήκας νηπτικάς, ἀπὸ διαφόρων ἀσκητικῶν Πατέρων ἀπηνθισμένας. Ἐν τέλει δὲ προστέθειται: Βίος καὶ πολιτεία τοῦ ἁγίου Σιλβέστρου πάπα Ῥώμης.

258.

Τεῦχος περγαμηνὸν μήκ. 0,35, πλ. 0,25, περὶ τὴν ΙΓ' ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 321 συγκείμενον. Περιέχει: Ὁμιλίας ΛΓ' τοῦ Χρυσοστόμου, μεθ' ἃς: Βασιλείου τοῦ μεγάλου Ὁμιλίας ΚΔ'.

259.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ 0,21, κατὰ τὴν Ι' ἑκατονταετη-

ρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 121, ἀλλ' ἐλλιπέστατον ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: τοῦ Χρυσοστόμου Λόγους κατὰ Ἰουδαίων καὶ ἀπανθίσματα Ἑρμηνείας ἐκ τῆς Καινῆς Διαθήκης.

260.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,28, πλ. 0,21, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 312 συγκείμενον.. Περιέχει: Λόγους πανηγυρικοὺς διαφόρων Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας.

261.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32,πλ. 0,21, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 238 συγκείμενον. Περιέχει τὰς αὐτὰς Ὁμιλίας τοῦ Κωνσταντινουπόλεως πατριάρχου Ἰωάννου τοῦ Ἀγαπητοῦ τὰς καὶ τῷ ἐν ἀριθμῷ 256 περιεχομένας.

262.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ 0,31, πλ. 0,21, κατὰ τὸ ,ζριγ' (+1605) ἔτος γεγραμμένον, ὡς ἐν τῷ τέλει σημειοῦται, ἐκ φύλλων δὲ 308 συγκείμενον. Περιέχει: Ἐφραὶμ τοῦ Σύρου Λόγους κατανυκτικοὺς καὶ παραινέσεις.

263.

Τεῦχος περγαμηνὸν μήκ. 0,37, πλ. 0,28, κατὰ τὸ ,ϛυϞθ' (+931) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ φύλλῳ 245^{6}, ἐκ φύλλων δὲ 259 συγκείμενον. Περιέχει Λόγους ΛΓ' τοῦ Χρυσοστόμου. Ἐν τέλει δὲ εὕρηται καὶ Ἀστερίου Ἀμασείας: Ἐγκώμιον εἰς τοὺς Ἀποστόλους Πέτρον καὶ Παῦλον.

264.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 246 συγκείμενον. Περιέχει κατὰ τὸ πλεῖστον Λόγους τοῦ Χρυσοστόμου, εἶτα δὲ καὶ τῶν ἑξῆς: Βασιλείου τοῦ μεγάλου, Ἀθανασίου Ἀλεξανδρείας, Ἐφραὶμ τοῦ Σύρου, Ἐπιφανίου Κύπρου καὶ Γρηγορίου τοῦ Θεολόγου.

265.

Τεῦχος περγαμηνὸν μήκ. 0,35, πλ. 0,24, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 295, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει Λόγους ΚΗ' τοῦ Χρυσοστόμου.

266.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,29, πλ. 0,22, κατὰ τὸ ,αφϞε' γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 428 συγκείμενον. Περιέχει τοῦ Χρυσοστόμου Ὁμιλίας Λ' εἰς τὴν Ἑξαήμερον.

267.

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλ. 0,21, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 260 συγκείμενον. Περιέχει Λόγους πανηγυρικοὺς τῶν ἑξῆς Πατέρων: Ἀνδρέου Κρήτης, Γερμανοῦ Κωνσταντινουπόλεως, Ἐφραὶμ τοῦ Σύρου, Θεοδώρου τοῦ Στουδίτου, Βασιλείου τοῦ μεγάλου, Ἰωάννου τοῦ Χρυσοστόμου, Γεωργίου πρεσβυτέρου Καισαρείας, Εὐθυμίου μοναχοῦ, Νεκταρίου Κωνσταντινουπόλεως, Ἀθανασίου Ἀλεξανδρείας καὶ Γρηγορίου Νύσσης. Ἔστι δὲ τῆς ἀρχῆς καὶ τοῦ τέλους ἐλλιπές.

268.

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλ. 0,15, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 328 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα τῆς θείας ἀνόδου.

269.

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλ. 0,17, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 171 συγκείμενον. Περιέχει τοῦ αὐτοῦ Ἰωάννου Σχολαστικοῦ τὴν Κλίμακα μετὰ Σχολίων περὶ τὴν ᾤαν ἐνιαχοῦ διεσπαρμένων.

270.

Τεῦχος ἐκ χάρτου βαμβακίνου παχέος μήκ. 0,26, πλ. 0,25, κατὰ τὴν ΙΓ' ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 192 συγκείμενον. Περιέχει τοῦ αὐτοῦ Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα μεθ' ἣν: Βίον καὶ πολιτείαν τοῦ ὁσίου Θεοδώρου ἀρχιεπισκόπου Ἐδέσσης συγγραφέντα παρὰ Βασιλείου ἐπισκόπου Ἐμέσης.

271.

Τεῦχος ἐκ χάρτου βαμβακίνου παχέος μήκ. 0,24, πλ. 0,20, ὑπὸ δύο διαφόρων χειρῶν γεγραμμένον κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα, ἐκ φύλλων δὲ 249 συγκείμενον. Περιέχει: Ἐφραὶμ τοῦ Σύρου Λόγους διαφόρους.

272.

Τεῦχος περγαμηνὸν μήκ. 0,17, πλ. 0,12, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 308 συγκείμενον. Περιέχει: Λόγους καὶ Ἐπιστολὰς Μακαρίου τοῦ Αἰγυπτίου.

273.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων 299 συγκείμενον, λίαν δὲ ὑπὸ τῆς νοτίδος ἐφθαρμένον. Περιέχει: Λόγους διαφόρων Πατέρων, ὡς ἐπὶ τὸ πλεῖστον δὲ τοῦ Χρυσοστόμου.

274.

Τεῦχος περγάμηνὸν μήκ. 0,22, πλ. 0,17, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 8 συγκείμενον. Περιέχει λείψανα ἐκ τοῦ ΙΒ' καὶ ΙΗ' Λόγου Γρηγορίου τοῦ Θεολόγου.

275.

Τεῦχος ἐκ χάρτου παχέος μήκ. 0,23, πλ. 0,15, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 364 συγκείμενον. Περιέχει τὰς εἰς τὸ Ἆσμα Ἀσμάτων καὶ τὸν Ἐκκλησιαστὴν τοῦ Σολομῶντος Ὁμιλίας Γρηγορίου τοῦ Νύσσης.

276.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,15, κατὰ τὸ ,ζρμδ' (+1636) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 302 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα τῆς Θείας ἀνόδου.

277.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0.29, πλ. 0,22, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 279 συγκείμενον. Περιέχει: Γρηγορίου πάπα Ῥώμης τοῦ Διαλόγου τοὺς Ἱστορικοὺς Διαλόγους·

εἶθ' οὕτω δέ: Θεοδωρήτου ἐπισκόπου Κύρου τὴν Φιλόθεον Ἱστορίαν.

278.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,27, πλ. 0,20, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 349, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: Λόγους πανηγυρικοὺς εἴτε ἑορταστικοὺς διαφόρων Πατέρων, ἐν οἷς καὶ Βίους καὶ Μαρτύρια ἁγίων.

279.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλ. 0,21, κατὰ τὸ ,ζϞϚ' (+ 1588) ἔτος γεγραμμένον, ὡς ἐν τῷ φύλλῳ 260 σημειοῦται, ἐκ φύλλων δὲ 270 συγκείμενον. Περιέχει ἀνωνύμως Ὁμιλίας εἰς τὰς κυριακὰς τοῦ ἐνιαυτοῦ· χεὶρ ὅμως βέβηλος ἀπέσχισε μετὰ τὸ 19 φύλλον 50 φύλλα, καὶ μετὰ τὸ 61 ἕτερα 51. Ἄνωθεν δὲ τοῦ σεσημασμένου ἔτους ἀναγινώσκονται οἱ ἑξῆς στίχοι:

Ἀρχὴ καὶ τέλος καὶ πλήρωμα σὺ πέλων,
ὦ Χριστὲ σῶτερ, τῶν Προφητῶν καὶ Νόμου,
πλήρωσον χαρᾶς τὴν καρδίαν μου Λόγε,
καί μοι πάρασχε τὴν ἄφθονόν σου χάριν.
σοὶ γὰρ πεποιθὼς ἠρξάμην τοῦ βιβλίου
ὁ εὐτελὴς Ἰωάσαφ ὁ τάλας
καὶ ἐλάχιστος τῶν ἱερομονάχων.
Τανῦν δ' ἐπιθεὶς ἐνταυθοῖ καὶ τὸ πέρας,
αὖθίς σοι δόξαν, ὡς Θεῷ καὶ Δεσπότῃ,
νέμω δεόντως, ᾧ γόνυ κάμπτει κτίσις.

280.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλ. 0,15, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 352 συγκείμενον. Περιέχει: Συμεὼν Θεσσαλονίκης Διάλογον κατὰ πασῶν τῶν αἱρέσεων.—Ἑρμηνείαν περὶ τοῦ θείου ναοῦ καὶ τῶν ἐν αὐτῷ κλπ. —Ἑρμηνείαν συνοπτικὴν τοῦ ἱεροῦ Συμβόλου.—Διάλεξιν Ἰουδαίων πρὸς χριστιανούς,—καὶ Ἀποκρίσεις πρὸς τὰς ἐρωτήσεις τοῦ μητροπολίτου Πενταπόλεως Γαβριήλ.

281.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 202 συγκείμενον. Περιέχει: Παλλαδίου Ἑλενουπόλεως τὴν Λαυσαϊκὴν Ἱστορίαν.

282.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,30, πλ. 0,21, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 550 συγκείμενον. Περιέχει ΝΑ' Λόγους πανηγυρικοὺς διαφόρων Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας.

283.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,31, πλ. 0,22, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 246. Περιεῖχεν ἀσκητικοῦ τινος Πατρὸς Λόγους ΛΓ', ἐξ ὧν ὅμως ἐξεῤῥύησαν οἱ πρῶτοι Ε' μικροῦ μόνον μέρους ἐκ τοῦ Ε' ἀπολειφθέντος. Ὡς δὲ ἐκ τοῦ κατωτέρω κατατεταγμένου ὑπ' ἀριθ. 292 ἐπιστώθημεν, ὁ ἄδηλος συγγραφεύς ἐστι Συμεὼν Μοναχός· τοὺς αὐτοὺς γὰρ Λόγους περιέχει κἀκεῖνο.

284.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,15, κατὰ τὸ 1599 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 548 συγκείμενον. Περιέχει διαφόρων Πατέρων καὶ Διδασκάλων Λόγους πανηγυρικοὺς ΚΑ'· μεθ' οὓς τάσσονται καὶ Β' ἐκ τῶν λεγομένων ἀποκρύφων, ἤτοι Προχώρου: Περὶ τῶν Πράξεων Ἰωάννου τοῦ Θεολόγου καί: Πράξεις τοῦ Ἀποστόλου Θωμᾶ, καὶ τελευταῖον: Ἄθλησιν τοῦ ἁγίου ἱερομάρτυρος Μοδέστου.

285.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,30, πλ. 0,20, κατὰ τὸ ,ζρξ' (+1552) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 238 συγκείμενον. Περιέχει: Μαξίμου ἱερομονάχου τοῦ Πελοποννησίου τὸ Κυριακοδρόμιον ἤτοι Ὁμιλίας ΝΓ' εἰς ὅλας τὰς κυριακὰς τοῦ ἐνιαυτοῦ. Ἔστι δὲ ἐν φράσει δημώδει.

286.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,15, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 284 συγκείμενον. Περιέχει Λόγους διαφόρων Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας, καὶ Βίους καὶ Μαρτύρια ἁγίων ἀναμίξ.

287.

Τεῦχος περγαμηνὸν μήκ. 0,22, πλ. 0,16, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 247 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει: τοῦ ὁσίου Δωροθέου τοῦ Ἀββᾶ Διδασκαλίας ψυχωφελεῖς.

288.

Τεῦχος περγαμηνὸν μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 183 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Δαμασκηνοῦ τὰ Φιλοσοφήματα καὶ Διαλεκτικά.

289.

Τεῦχος περγαμηνὸν μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 135 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα τῆς Θείας ἀνόδου.

290.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,16, κατὰ τὸ ,ζπγ' (+1575) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 514 συγκείμενον. Περιέχει: Συμεὼν τοῦ Θεσσαλονίκης τὰ Συγγράμματα.

291.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλ. 0,14, κατὰ τὸ 1546 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 231 συγκείμενον. Περιέχει: Συμεὼν Θεσσαλονίκης Ἑρμηνείαν περί τε τοῦ Θείου ναοῦ καὶ τῶν λοιπῶν, τοῖς ἐν Κρήτῃ εὐσεβέσι ζητήσασιν ἀποσταλθεῖσαν· εἶτα δὲ Νικολάου τοῦ Καβάσιλα: Ἐξήγησιν τῆς Θείας καὶ ἱερᾶς Λειτουργίας· καὶ τελευταῖον: Ἐρωτήματα, ἅπερ ἔλυσε Πέτρος ὁ χαρτοφύλαξ καὶ διάκονος τῆς Μεγάλης Ἐκκλησίας ἐν ἔτει ,ϛχ' (+1092).

292.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,16, πλ. 0,10, κατὰ τὸ ,ζπγ'

(+1575) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 595 συγκείμενον. Περιέχει : Συμεὼν Μοναχοῦ ΛΒ' ἠθικοὺς καὶ κατανυκτικοὺς Λόγους. Ἄγνωστος δ' ἡμῖν ἄλλοθεν ὁ συγγραφεὺς οὗτος.

293.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,24, πλ. 0,16, κατὰ τὴν ΙΒ' καὶ ΙΓ' ἑκατονταετηρίδα ὑπὸ δύο διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ 136 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα τῆς Θείας ἀνόδου· εἶθ' οὕτω : Συμεὼν μητροπολίτου Εὐχαΐτων Ἐπιστολὴν πρός τινα μοναχὸν Στυλίτην· — τοῦ ὁσίου Νείλου : Περὶ τῶν Η' λογισμῶν.—Μαξίμου τοῦ Ὁμολογητοῦ: Κεφάλαια ἑκατοντατάδας τέσσαρας· — τοῦ ὁσίου Νείλου: Κεφάλαια παραινετικά, — καὶ Ἀθανασίου Ἀλεξανδρείας: Πρὸς Ἀντίοχον ἄρχοντα.

294.

Τεῦχος περγαμηνὸν μήκ. 0,19, πλ. 0,14, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 341 συγκείμενον. Περιέχει καὶ τοῦτο τὴν Κλίμακα Ἰωάννου τοῦ Σχολαστικοῦ.

295.

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλ. 0,14, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 141 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει : Θεοδώρου τοῦ Στουδίτου τὰς Κατηχήσεις.

296.

Τεῦχος περγαμηνὸν μήκ. 0,12, πλ. 0,8, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον καὶ ἐκ φύλλων 256 συγκείμενον. Περιέχει καὶ τοῦτο τὴν Κλίμακα Ἰωάννου τοῦ Σχολαστικοῦ.

297.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,35, πλ. 0,24, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 364 συγκείμενον. Περιέχει : Εὐθυμίου Ζιγαδηνοῦ τὴν Δογματικὴν Πανοπλίαν πλήρη.

298.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,20, πλ. 0,12, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 405 συγκείμενον. Περιέχει: Ἐκλογὴν ἐκ τῶν ἐπιστολῶν Θεοδώρου τοῦ Στουδίτου.

299.

Τεῦχος περγαμηνὸν μήκ. 0,34, πλ. 0,27, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 258, ὧν τὰ πρῶτα 23 εἰσὶ νεωτέρας χειρὸς προσθήκη. Περιέχει : Γρηγορίου τοῦ Θεολόγου Λόγους ΙϚ'.

300.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,30, πλ. 0,21, κατὰ τὸ ,ζπδ' (+1576) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 360 συγκείμενον. Περιέχει: Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ἀγαπητοῦ, τοῦ καὶ Χαλκηδόνος ἐπιλεγομένου, Ὁμιλίας εἰς πάσας τὰς κυριακὰς τοῦ ἐνιαυτοῦ, καὶ ἐπιπλέον: Θεοφυλάκτου Βουλγαρίας Ἐξήγησιν εἰς τὰ ΙΑ' ἑωθινὰ Εὐαγγέλια.

301.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,31, πλ. 0,21, κατὰ τὸ ,ζπβ' (+1574) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ

491 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Δαμασκηνοῦ τὴν: Ἱστορίαν ψυχωφελῆ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῆς Ἰνδῶν λεγομένης· μεθ' ἣν ἕπονται: Συμεὼν Μοναχοῦ Λόγοι κατανυκτικοὶ Λ'· καὶ μετ' αὐτοὺς ἕτεροι Λόγοι τοῦ Χρυσοστόμου, Ἀμφιλοχίου, Δαμασκηνοῦ καὶ Ὑπομνήματα εἰς ἁγίους.

302.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,18, πλ. 0,13, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 219 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα τῆς θείας ἀνόδου.

303.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 0,19, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 258 συγκείμενον. Περιέχει: Γρηγορίου τοῦ Θεολόγου Λόγους ΚΑ'.

304.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 0,19, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 257, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: τοῦ μεγάλου Βασιλείου τὰ Ἀσκητικά.

305.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 0,20, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 253 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Χρυσοστόμου Λόγους Θ'·—Βασιλείου τοῦ μεγάλου Α'· — Ἀνωνύμου: Ὑπόμνημα εἰς τὸν βίον τοῦ Χρυσοστόμου—καὶ Κοσμᾶ Βεστήτορος: Εἰς τὴν ἀνακομιδὴν τῶν λειψάνων τοῦ Χρυσοστόμου.

306.

Τεῦχος περγαμηνὸν μήκ. 0,32, πλ. 0,15, κατὰ τὸ ,ϛωλϛ' (+1328) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 151 συγκείμενον. Περιέχει: Ἐκλογὰς ἐκ τῶν Λόγων καὶ τῶν Ἐπιστολῶν καὶ τῶν Ἀσκητικῶν Βασιλείου τοῦ μεγάλου, καὶ ἐκ τοῦ Χρυσοστόμου Λόγον εἰς τὰ Θεοφάνεια.

307.

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλ. 0,17, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 212, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα τῆς θείας ἀνόδου, καὶ ἐπὶ πλέον Λόγους Δ' τοῦ μεγάλου Βασιλείου.

308.

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλ. 0,19, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 317 συγκείμενον. Ἔστι καὶ τοῦτο ἡ Κλίμαξ τοῦ αὐτοῦ Ἰωάννου.

309.

Τεῦχος περγαμηνὸν μήκ. 0,16, πλ. 0,11, κατὰ τὸ ,ϛωκ' (+1312) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 290 συγκείμενον. Ἡ Κλίμαξ δέ ἐστι καὶ τοῦτο τοῦ Ἰωάννου.

310.

Τεῦχος περγαμηνὸν, μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 263 συγκείμενον. Καὶ τοῦτό ἐστιν ἡ Κλίμαξ τοῦ αὐτοῦ.

311.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλ. 0,14, κατὰ τὸ ,Ϛωμ' (+ 1332) ἔτος γεγραμμένον, ὡς ἐν τῷ τέλει σημειοῦται, ἐκ φύλλων δὲ 245 συγκείμενον. Καὶ τοῦτό ἐστιν ἡ Κλίμαξ τοῦ αὐτοῦ.

312.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλ. 0,13, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 276 συγκείμενον. Καὶ τοῦτο ἡ Κλίμαξ ἐστὶ τοῦ αὐτοῦ.

313.

Τεῦχος περγαμηνὸν μήκ. 0,26, πλ. 0,20, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 195, ἐλλιπέστατον ὅμως ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει τοῦ Χρυσοστόμου Λόγους Ι', ὧν προτάσσεται Ἀδήλου: Ὑπόμνημα εἰς τὸν βίον καὶ τὴν πολιτείαν αὐτοῦ.

314.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,28, πλ. 0,21, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 281 συγκείμενον. Περιέχει: Ἰωάννου μοναχοῦ τοῦ Θηκαρᾶ τὰς Εὐχὰς καὶ τοὺς Ὕμνους.

315.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,30, πλ. 0,21, κατὰ τὸ ,ζοδ'(+ 1566) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 232 συγκείμενον. Περιέχει: Λόγους ΙϚ' Γρηγορίου τοῦ Θεολόγου.

316.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλάτ. 0,15, κατὰ τὸ ,ζρμη' (+ 1639) ἔτος γεγραμμένον, ὡς ἐν τῷ τέλει σημειοῦται, ἐκ φύλλων δὲ 363 συγκείμενον. Περιέχει: Συμεὼν τοῦ μοναχοῦ Λόγους ΛΒ' ἠθικοὺς καὶ κατανυκτικούς.

317.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 152 συγκείμενον. Περιέχει: Βίους Θεοδοσίου τοῦ κοινοβιάρχου καὶ Εὐθυμίου τοῦ μεγάλου, καὶ Λόγους πανηγυρικοὺς Γ' Θεοφάνους τοῦ Κεραμέως, Κυρίλλου Ἱεροσολύμων καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. Ἐκ τοῦ τέλους ἐξεῤῥύη μέρος τοῦ χρυσοστομικοῦ Λόγου καὶ ἡ Ἀποκάλυψις Ἰωάννου τοῦ Θεολόγου.

318.

Τεῦχος περγαμηνὸν μήκ. 0,28, πλ. 0,19, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 237, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ (ἐξ ἧς ἐξεῤῥύησαν φύλλα 11) καὶ τῷ τέλει. Περιέχει: Ἀδήλου, πιθανῶς δὲ Θεοδώρου τοῦ Πτωχοπροδρόμου, Ἑρμηνείαν εἰς τοὺς Ἀσματικοὺς Κανόνας Κοσμᾶ τοῦ Ἱεροσολυμίτου καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ.

319.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,31, πλ. 0,22, περὶ τὴν ΙΗ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 276 συγκείμενον. Περιέχει: Συμεὼν Θεσσαλονίκης τὰ Συγγράμματα.

320.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,26, πλ. 0,20, κατὰ τὴν ΙΓ'

ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 252 συγκείμενον. Περιέχει ἐν ἀρχῇ μὲν: Βασιλείου τοῦ μεγάλου τὴν Πρὸς τοὺς νέους παραίνεσιν· εἶθ' οὕτω δέ: Γρηγορίου τοῦ Θεολόγου Λόγους ΙϚ', μεθ' οὓς τάσσονται τοῦ μεγάλου Βασιλείου Λόγοι διάφοροι.

321.

Τεῦχος περγαμηνὸν μήκ. 0,26, πλ. 0,17, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 220 συγκείμενον. Περιέχει: τὸν Βίον Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ τὰ Φιλόσοφα καὶ Δογματικὰ Κεφάλαια αὐτοῦ.

322.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,25, πλ. 0,16, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 293 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα, καὶ ἐπιπλέον Λόγους Ἰσαὰκ τοῦ Σύρου, Νείλου, Μαξίμου, Ἠλία Πρεσβυτέρου, Ἀνθολόγιον φιλοσόφων ἀνδρῶν, Γρηγορίου τοῦ Θεολόγου, Θεοδώρου τοῦ Ἐδέσης, Χρυσοστόμου, Συμεὼν τοῦ νέου Θεολόγου, Ἰωάννου τοῦ Καρπαθίου, Νικήτα τοῦ Στηθάτου, Μάρκου τοῦ Ἀσκητοῦ, Βίον τοῦ ὁσίου Μάρκου τοῦ Ἀθανασίου, καὶ Διαδόχου Κεφάλαια.

323.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλ. 0,15, κατὰ τὸ ,ζϞγ' (+ 1585) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 411 συγκείμενον. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Κλίμακα τῆς θείας ἀνόδου.

324.

Τεῦχος περγαμηνὸν μήκ. 0,34, πλ. 0,25, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 250, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει: τοῦ Χρυσοστόμου Ὁμιλίας ΝΓ' εἰς τὰς Πράξεις τῶν Ἀποστόλων, ἀλλ' ἐν τῇ ἀρχῇ τὸ πλεῖστον μέρος τῆς Γ' Ὁμιλίας περιελείφθη, ἐν δὲ τῷ τέλει ἐξερρύη τὸ πλεῖστον τῆς ΝΓ'. Ἐξέπεσαν ὡςαύτως ἐν τῷ μεταξὺ καὶ ἡ Ϛ' καὶ ἡ Ζ'.

325.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,29, πλ. 0,21, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 220 συγκείμενον. Περιέχει: α') Ἀκολουθίαν τοῦ Ἀκαθίστου. Ὁ Κανών, πάντη διάφορος τοῦ γνωστοῦ, ἐπιγέγραπται: «τοῦ κυροῦ Θεοφάνους» μέχρι τῆς ζ' ᾠδῆς, ἡ δὲ η' καὶ θ' ποίημα ἐστὶ τοῦ Δαμασκηνοῦ, καὶ β') Ἰωάννου τοῦ Δαμασκηνοῦ τὰ Φιλοσοφήματα καὶ Διαλεκτικά.

326.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,31, πλ. 0,20, κατὰ τὸ ,ζξε' (+ 1557) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 284 συγκείμενον. Περιέχει: Γρηγορίου τοῦ Θεολόγου Λόγους ΙϚ' καὶ ἐν τέλει τὸν Βίον αὐτοῦ

327.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλ. 0,21, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον καὶ κατ' ἀπομίμησιν γραφῆς ἀρχαιοτέρας, ἐκ

φύλλων δὲ 540 συγκείμενον. Περιέχει: Λόγους ΝΓ' πανηγυρικοὺς ἐννεακαίδεκα Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας.

328.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,27, πλ. 0,17, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 213 συγκείμενον. Ἐπιγέγραπται: «Συλλογὴ συντεθεῖσα κατὰ ἀλφάβητον ἐκ τῶν θεοφθόγγων ῥημάτων τῶν ἁγίων θεοφόρων Πατέρων ἡμῶν πάνυ ὠφέλιμος»· καταλήγει δὲ μέχρι τοῦ στοιχείου Χ, τῶν λοιπῶν ἐκρυέντων.

329.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,24, πλ. 0,16, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 246 συγκείμενον. Περιέχει: α') Ἀθανασίου Ἀλεξανδρείας Πρὸς Ἀντίοχον ἄρχοντα.— β') Ἠλία πρεσβυτέρου καὶ ἐκδίκου: Ἀνθολόγιον γνωμικῶν φιλοσόφων σπουδαίων.—γ') Ἀνωνύμου: Περὶ τῆς νοερᾶς καὶ ἀσωμάτου φύσεως, καὶ ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ὑπὸ τοῦ δημιουργοῦ γεγόνασιν.—δ') Θεοδώρου τοῦ Ἀβουκαρᾶ: Διάκρισιν τῶν φωνῶν περὶ ἃς οἱ φιλόσοφοι καταγίνονται κτλ.—ε') Σοφίαν Ἰησοῦ υἱοῦ Σειράχ,—καὶ ϛ') Ἆσμα ᾀσμάτων.

330.

Τεῦχος περγαμηνὸν μήκ. 0,21, πλ. 0,15, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 213, ὧν τὰ πρόσθια 18 καὶ τὰ 13 τελευταῖα εἰσιν ἐκ χάρτου προστεθέντα κατὰ τὸ ,ζϞ' (+ 1582) ἔτος πρὸς συμπλήρωσιν τῶν ἐλλειπόντων. Περιέχει: Ἰωάννου τοῦ Δαμασκηνοῦ Ἱστορίαν ψυχωφελῆ τῆς ἐνδοτέρω τῶν Αἰθιόπων χώρας κτλ.

331.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,20, πλ. 0,14, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 164 συγκείμενον. Περιέχει Λόγους Ἀναστασίου τοῦ Σιναΐτου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἐφραὶμ τοῦ Σύρου, Βασιλείου τοῦ μεγάλου, Θεοδώρου Δούκα Λάσκαρι τοῦ αὐτοκράτορος Λόγον εἰς τὴν Θεοτόκον, ὀφείλοντα ἀναγινώσκεσθαι τῇ ἑορτῇ τῆς Ἀκαθίστου (ἀνέκδοτός ἐστι), Γρηγορίου τοῦ Θεολόγου, καὶ τέλος Ἰωάννου τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου: Ἱστορίαν περὶ τῆς τελειώσεως τῆς Μητρὸς τοῦ Κυρίου (ψευδεπίγραφος).

332.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,16, πλ. 0,11, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 228 συγκείμενον. Περιέχει: Γρηγορίου πάπα Ῥώμης Ἐπιστολὰς δύο πρὸς τὸν αὐτοκράτορα Λέοντα Ἴσαυρον περὶ τῶν ἁγίων εἰκόνων.— β') Χρυσοστόμου Λόγον εἰς τὴν ἐξορίαν τοῦ Ἀδάμ.—γ') Μακαρίου τοῦ Αἰγυπτίου Διήγησιν πάνυ ὠφέλιμον.—δ') Λαυρεντίου μοναχοῦ Ἐπιστολὴν τῷ πατριάρχῃ Γενναδίῳ τῷ Σχολαρίῳ.— ε') Ἀπόκρισιν τούτου πρὸς ἐκεῖνον, προςηρτημένην ἔχουσιν ἠθοποιΐαν: Ποίους ἂν εἶπε λόγους πρὸς ἑαυτὸν ὁ Ἀπόστολος Πέτρος μετὰ τὴν τρίτην ἄρνησιν.—ϛ') Ναθαναὴλ μητροπολίτου Πενταπόλεως, Ἐπιστολὴν Μανουὴλ Θεοφίλῳ.— ζ') Τοῦ αὐτοῦ ἑτέραν Ἐπιστολὴν Εὐγενίᾳ μοναχῇ.—η') Θεοδώρου

βασιλέως τοῦ Λάσκαρι τὸν εἰς τὴν ὑπεραγίαν Θεοτόκον Κανόνα.— θ') Χρυσοστόμου Ἐγκώμιον εἰς τὸν Ἀπόστολον Παῦλον.—ι') Ἀσματικούς τινας Κανόνας,—καὶ ια') Ἀνωνύμου Ἐγκώμιον εἰς τὸν ἅγιον Νικόλαον.

333.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 70, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Ὁ ἐν τῇ ἀρχῇ Λόγος ἐστὶν ἀντιῤῥητικὸς περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ἄδηλον τίνος συγγραφέως καὶ κατὰ τίνος συγγραφεῖς· εἶθ' οὕτως ἕπεται: Ἀνωνύμου Λόγος εἰς τὸν ἅγιον Στέφανον· καὶ μετ' αὐτὸν λατινόφρονός τινος Χρήσεις διάφοροι γραφικαὶ συλλεγεῖσαι εἰς ἀπόδειξιν τοῦ εἶναι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ.

334.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,20, πλ. 0,14, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 366 συγκείμενον. Περιέχει: Γερμανοῦ πατριάρχου Κωνσταντινουπόλεως [τοῦ Νέου] Λόγους ΚΖ' εἰς τὴν μεγάλην τεσσαρακοστήν· εἶθ' οὕτω τοῦ Ἀββᾶ Κασιανοῦ: Διήγησιν μεθ' ἣν: Συμεὼν τοῦ νέου Θεολόγου Περὶ ἀγάπης, καὶ ἐκ τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος: Περὶ ἀκατακρίτου.

335.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,20, πλ. 0,15, κατὰ τὸ 1646 ἔτος γεγραμμένον, ὡς ἐν τῷ τέλει σημειοῦται, ἐκ φύλλων δὲ 326 συγκείμενον. Περιέχει: Ἀνωνύμου Κυριακοδρόμιον ἤτοι Λόγους εἰς τὰς κυριακὰς τοῦ ὅλου ἐνιαυτοῦ, καὶ εἴς τινας τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν.

336.

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλ. 0,17, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 227 συγκείμενον. Περιέχει: Γρηγορίου τοῦ Θεολόγου Λόγους ΙΖ'. Τὰ τρία τελευταῖα φύλλα εἰσὶ λείψανα τῆς τοῦ ἁγίου διαθήκης.

337.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 246, ἐλλιπὲς ὅμως τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει Λόγους τοῦ Χρυσοστόμου κατ' ἐκλογήν.

338.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,16, πλ. 0,10, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 492 συγκείμενον. Περιέχει: Συμεὼν μοναχοῦ Λόγους κατανυκτικοὺς ΛΒ', μεθ' οὓς τέτακται: Ἱστορία τοῦ Τωβὶτ, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου: Περὶ τοῦ ματαίου βίου.

339.

Τεῦχος περγαμηνὸν μήκ. 0,13, πλ. 0,10, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 197 συγκείμενον, οὗ ἡ ἀρχὴ οὐ μόνον ἐλλιπὴς καὶ ἐφθαρμένη, ἀλλὰ καὶ τὸ τέλος. Περιέχει: Ἠθικὰς ἐκλογὰς ἀπό τε τῶν θείων Γραφῶν καὶ τῶν ἱερῶν Πατέρων τῆς Ἐκκλησίας μεθ' ἃς ἕπεται: Χριστοφόρου ἐπισκόπου Ἀλεξανδρείας Παραίνεσις ψυχωφελής.

340.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,30, πλ. 0,16, κατὰ τὸ 1772 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 224 συγκείμενον. Περιέχει: ἅπαντας τοὺς Λόγους Θεοφάνους ἀρχιεπισκόπου Ταυρομενίου τοῦ Κεραμέως.

341.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 149 συγκείμενον, ἀλλ' ἄνευ ἀρχῆς καὶ τέλους. Ἔστι δὲ Ἰωάννου τοῦ Δαμασκηνοῦ τὰ Φιλοσοφήματα.

342.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,14, περὶ τὴν ΙϚ' ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 267 συγκείμενον. Περιέχει: Λόγους διαφόρων Πατέρων, οἷον: Γρηγορίου Θεσσαλονίκης τοῦ Παλαμᾶ, Γεωργίου Νικομηδείας, Ἐπιφανίου Κύπρου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ Θεοφάνους Ταυρομενίου τοῦ Κεραμέως.

343.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλ. 0,15, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα ὑπ' ἀμαθεστάτου ἀντιγραφέως γεγραμμένον, ἐκ φύλλων δὲ 137 συγκείμενον. Περιέχει: α') Ἰωάννου τοῦ Χρυσοστόμου Λόγον. — β') Ἰακώβου τοῦ Ἀδελφοθέου Ἱστορίαν περὶ τῆς γεννήσεως τῆς Θεοτόκου (ψευδεπίγραφος). — γ') Μενάνδρου Προτίκτορος Διήγησιν περὶ τῆς ἀναζητήσεως καὶ εὑρέσεως τοῦ τιμίου Σταυροῦ (ὑποβολιμαία). — δ') Πρόκλου Κωνσταντινουπόλεως Ἐγκώμιον εἰς τὸν Εὐαγγελιστὴν Ἰωάννην. — ε') Μαρτύριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Δημητρίου. — Ϛ') Παντολέοντος ἀρχιδιακόνου Λόγον εἰς τὸν ἀρχάγγελον Μιχαήλ. — ζ') Γρηγορίου τοῦ Θεολόγου Λόγον εἰς τὴν Χριστοῦ γέννησιν. — η') Ἀμφιλοχίου Ἰκονίου Ἐγκώμιον εἰς τὴν Ὑπαπαντήν. — θ') Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου. — ι') Ἀντιπάτρου ἐπισκόπου Βοστρῶν Λόγον εἰς τὸ γενέσιον τοῦ Προδρόμου. — ια') Τοῦ ἁγίου Ἰωάννου τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου Λόγον εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου (ψευδεπίγραφος), — καὶ ιβ') Ἰωάννου τοῦ Χρυσοστόμου Λόγον εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου.

344.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,16, πλ. 0,10, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 502 συγκείμενον. Περιέχει: Λόγους τοῦ Χρυσοστόμου, Ἐφραὶμ τοῦ Σύρου καὶ Διηγήσεις διαφόρους ἐν φράσει κοινῇ.

345.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 159 συγκείμενον. Περιέχει: Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις ἐν φράσει κοινῇ, καὶ Βίον καὶ πολιτείαν τῆς ὁσίας Εὐπραξίας μεταφρασθέντα εἰς τὸ κοινὸν ἰδίωμα παρὰ Ἰγνατίου ἱερομονάχου.

346.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,14, ἐκ φύλλων 225 συγκείμενον, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Τὸ περιεχόμενον τούτου ἐξείργασται

ὑπὸ δύο διαφόρου ἡλικίας ἀντιγραφέων· τὰ μὲν γὰρ πρῶτα 35 φύλλα αὐτοῦ ἐγράφησαν τῷ ,ϛψϛ′ (+ 1298) ἔτει, ὡς σημειοῦται ἐν τῷ τέλει τοῦ 35[ου] φύλλου· τὸ δὲ λοιπὸν περὶ τελευτῶσαν τὴν ΙΕ′ ἑκατονταετηρίδα. Εὕρηνται ἐν αὐτῷ τὰ ἑξῆς: α′) Βίος τοῦ ἁγίου Νικολάου.—β′) Ἰωάννου τοῦ Θεολόγου Εἰς τὴν πάνσεπτον Κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου (ψευδεπίγραφος).—γ′) Θαῦμα τοῦ ἁγίου Γεωργίου περὶ τῆς κόρης καὶ τοῦ δράκοντος.—δ′) Εὐσεβίου ἐπισκόπου Εἰς τὸ τοῦ διαβόλου καὶ τοῦ Ἄδου συμβούλιον πρὸς τοὺς Ἰουδαίους, κατὰ συλλογισμῶν τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ.—ε′) Ἀποκάλυψις Ἰωάννου τοῦ Θεολόγου περὶ τῆς δευτέρας παρουσίας καὶ τῆς συντελείας, ἧς ἡ ἀρχή: «Ἐγὼ Ἰωάννης ὁ Θεολόγος πρὸς τὴν Ἀνάληψιν τοῦ Κυρίου κτλ. (ψευδεπίγραφος).—ϛ′) Διήγησις εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμίου περὶ τῆς Ἱερουσαλὴμ κτλ.—ζ′) Διήγησις Ἀρχίππα τοῦ Προσμοναρίου περὶ τοῦ γεγονότος θαύματος ἐν ταῖς Χώναις.—η′) Παντολέοντος πρεσβυτέρου Ἐγκώμιον εἰς τὸν ἀρχιστράτηγον Μιχαήλ.—θ′) Ἐγκώμιον εἰς τὴν γέννησιν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή: «Ἐν ταῖς ἱστορίαις τῶν ΙΒ′ φυλῶν κτλ».—ι′) Πράξεις τοῦ ἁγίου Ἀποστόλου Φιλίππου.—ια′) Γερμανοῦ Κωνσταντινουπόλεως εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου.—ιβ′) Χρυσοστόμου Λόγος εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ.—ιγ′) Γρηγορίου τοῦ Θεολόγου Λόγος εἰς τὰ Θεοφάνεια.—ιδ′) Μαρτύριον τῆς ἁγίας Ἀναστασίας τῆς Ῥωμαίας.—ιε′) Ἀμφιλοχίου Ἰκονίου Εἰς τὸν βίον τοῦ ἁγίου Βασιλείου.—ιϛ′) Πρᾶξις τοῦ ἁγίου Νικολάου.—ιζ′) Χρυσοστόμου Λόγος εἰς τὰς δέκα παρθένους.—ιη′) Γρηγορίου Ἀντιοχείας Λόγος εἰς τὴν τριήμερον ἀνάστασιν τοῦ Σωτῆρος.—ιθ′) Ἄθλησις τῶν τριῶν παίδων Ἀνανία, Ἀζαρία καὶ Μισαὴλ, καὶ Δανιὴλ τοῦ προφήτου.—κ′) Ἀκολουθία τῶν κεκοιμημένων, ποίημα Νικολάου μητροπολίτου Ἀθηνῶν, —καὶ κα′) Ἀκολουθία τοῦ Εὐχελαίου.

347.

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλ. 0,13, κατὰ τὸ ,ϛϡιδ′ (+ 1406) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 131 συγκείμενον. Περιέχει τοὺς θείους Ὕμνους καὶ τὰς Εὐχὰς Ἰωάννου τοῦ Θηκαρᾶ. Ἔστι δὲ ὅλον τὸ τεῦχος παλίμψηστον, οὗ ἡ προτέρα γραφὴ τῆς Η′ ἢ τῆς Θ′ ἑκατονταετηρίδος οὖσα περιεῖχε τὸ ἱερὸν Εὐαγγέλιον.

348.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,20, πλ. 0,15, κατὰ τὴν ΙϚ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 208 συγκείμενον. Περιέχει καὶ τοῦτο τοὺς Ὕμνους καὶ τὰς Εὐχὰς τοῦ αὐτοῦ Θηκαρᾶ. Ἔστι δὲ κατὰ τὸ πλεῖστον ἐφθαρμένον ἐκ τῆς νοτίδος.

349.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,30, πλ. 0,20, κατὰ τὸ 1643 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 152 συγκείμενον. Περιέχει: Μαξίμου τοῦ Πελοποννησίου Λόγους ΙΗ′ ἐν φράσει κοινῇ, ἀρχομένους ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου καὶ καταλήγοντας εἰς τὴν κυριακὴν τῶν ἁγίων Πάντων.

330.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,28, πλ. 0,22, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 170 συγκείμενον, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει: Ἠθικὰς ἐκλογὰς ἐκ διαφόρων Λόγων τῶν ἐκκλησιαστικῶν Πατέρων.

331.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 195 συγκείμενον. Περιέχει τὰς Ὁμιλίας τοῦ Χρυσοστόμου εἰς τὸν εὐαγγελιστὴν Ματθαῖον.

332.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 224 συγκείμενον, ἀλλ' ἄνευ ἀρχῆς καὶ τέλους, ὅπερ ἐστὶ λίαν ἐφθαρμένον. Περιέχει: α') Τοῦ μακαριωτάτου Βασιλέως ἐπισκόπου Λακεδαιμονίας Ἐγκώμιον εἰς τὸν μέγαν Κωνσταντῖνον. Ἄρχεται: «Τὸ βασιλικῆς κατατολμᾶν ἀνατάξεως βασιλικῆς ἔδει φωνῆς καὶ πολὺ τὸ λογικὸν ἐχούσης κτλ». (Πρῶτον δὲ ἤδη γνωρίζεται ὡς συγγραφεὺς ὁ ἱεράρχης οὗτος).—β') Ἀστερίου ἐπισκόπου Ἔκφρασιν εἰς τὴν ἁγίαν Εὐφημίαν.—γ') Τοῦ Χρυσοστόμου Λόγους Γ'.—Μαρτύριον Θεοδώρου τοῦ Στρατηλάτου.—ε') Μαρτύριον τῶν Ἀποστόλων Πέτρου καὶ Παύλου.—ς') Μαρτύριον τοῦ ἁγίου Προκοπίου. Ἐπιπλέον δὲ περιέχονται καὶ τὰ ἑξῆς Ἀπόκρυφα: —ζ') Ὑπόμνημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ ἀκρίβειαν, καὶ εἰς τὴν ἀποκαθήλωσιν αὐτοῦ.—η') Ἐπιστολὴ Πιλάτου ἡγεμόνος τῆς Ἰουδαίας πρὸς Τιβέριον Καίσαρα.—θ') Ἐρώτησις Ἰωάννου τοῦ Θεολόγου πρὸς τὸν Δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.—ι') Ἀποκάλυψις τῆς ὑπεραγίας Θεοτόκου ὅταν ἔμελλεν ἐλθεῖν ἐπὶ τῶν κολάσεων ἰδεῖν τὰς κολάσεις·—καὶ τελευταῖον: Ἑρμηνείαν εἰς τὰ ΙΑ' ἑωθινὰ Εὐαγγέλια.

333.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 234 συγκείμενον. Περιέχει: Ἐκλογὰς ἐκ τῶν Λόγων τῶν ἱερῶν τῆς Ἐκκλησίας Πατέρων Ἀθανασίου, Οὐνταλίου [Βιταλίου;], ἐκ τοῦ περὶ Πίστεως Λόγου Χρυσοστόμου καί τινων ἐκ τῶν νεωτέρων, ἤτοι τοῦ βασιλέως Ἰωάννου Κανтακουζηνοῦ τοῦ μετὰ ταῦτα Ἰωάσαφ μοναχοῦ ἐκ τοῦ περὶ Θείας σαρκώσεως Λόγου (ἄγνωστος μέχρι τοῦ νῦν ὁ Λόγος οὗτος), Ἰωσὴφ τοῦ Βρυεννίου, Θεοδώρου τοῦ Πτωχοπροδρόμου καὶ Κυρίλλου Ἀλεξανδρείας.

334.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα ὑπὸ δύο διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ 143 συγκείμενον, ἀλλ' ἐλλιπέστατον ἐν τῇ ἀρχῇ. Ἐν αὐτῷ περιέχονται Λόγοι πανηγυρικοὶ τῶν ἑξῆς Πατέρων: Ἀνδρέου Κρήτης, Ἰωάννου Δαμασκηνοῦ, Γρηγορίου Θεσσαλονίκης, Μοδέστου Ἱεροσολύμων, Γερμανοῦ Κωνσταντινουπόλεως, Γρηγορίου τοῦ Θεολόγου, Γρηγορίου Νύσσης καὶ Πρόκλου Κωνσταντινουπόλεως.

355.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλ. 0,17, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 158 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχονται ἐν αὐτῷ τὰ ἑξῆς: α') Ἀδήλου Βίος τοῦ ὁσίου Βασιλείου. — β') Ἀδήλου Λόγος εἰς τὴν Θεοτόκον. — γ') Εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου. — δ') Ἰωάννου τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου Λόγος εἰς τὴν δευτέραν παρουσίαν, καὶ περὶ τοῦ ἀντιχρίστου (ψευδεπίγραφος). — ε') Ἐφραὶμ τοῦ Σύρου Λόγος περὶ τῆς δευτέρας παρουσίας. — ϛ' (Λόγος (ἀνεπίγραφος καὶ ἀπόκρυφος) περὶ τῆς παιδικῆς ἡλικίας τοῦ Ἰησοῦ Χριστοῦ. Ἄρχεται: «Θορύβου γενομένου ἐζητεῖτο ὁ Ἰησοῦς ὑπὸ Ἡρώδου τοῦ βασιλέως»· — ζ') Μεθοδίου Πατάρων Λόγος ἠκριβωμένος περὶ τῆς βασιλείας τῶν ἐθνῶν καὶ εἰς τοὺς ἐσχάτους καιρούς. — η') Ἀστρονομικά τινα. — θ') Διάλεξις κυροῦ Κωνσταντίνου τοῦ Παναγιώτου μετὰ τῶν δώδεκα γαρδιναρίων (ἀναφέρεται εἰς τοὺς χρόνους Μιχαὴλ τοῦ Παλαιολόγου). — ι') Ἐφραὶμ τοῦ Σύρου ἕτερος Λόγος εἰς τὸν βίον τοῦ ὁσίου Ἀνδρονίκου καὶ τῆς συμβίου αὐτοῦ Ἀθανασίας. — ια') Χρυσοστόμου Λόγος περὶ ἐλεημοσύνης. — ιβ') Ἀμφιλοχίου Ἰκονίου Συγγραφὴ ἑτέρα εἰς τὰ θαύματα Βασιλείου τοῦ ἀοιδίμου Διήγησις. — ιδ') Περὶ τῆς τῶν Ἀρειανῶν αἰτήσεως πρὸς τὸν βασιλέα Οὐάλεντα κατὰ τῶν Ὀρθοδόξων. — ιε') Περὶ τῆς γυναικὸς τῆς ἁμαρτωλοῦ. — ιϛ') Περὶ Ἰωσὴφ Ἑβραίου τοῦ ἰατροῦ. — ιζ') Χρυσοστόμου Λόγος εἰς τὰ Θεοφάνεια. — ιη') Ἰωάννου Δαμασκηνοῦ Λόγος εἰς τὴν Γέννησιν τῆς Θεοτόκου. — ιθ') Γερμανοῦ Κωνσταντινουπόλεως Ἐγκώμιον εἰς τὴν Θεοτόκον ὅτε εἰσήχθη ἐν τῷ ναῷ, — καὶ κ') Ὀπτασία τοῦ ἐν ἁγίοις εὐσεβεστάτου καὶ μεγάλου βασιλέως. Ἄρχεται: «Ἐν ἔτει ἑβδόμῳ τῆς βασιλείας Κωνσταντίνου τοῦ βασιλέως, μηνὶ Ἰανουαρίῳ εἰκάδι τοῦ μηνὸς συνήχθη πλῆθος βαρβάρων πολὺ ἐπὶ τὸν ποταμὸν τὸν καλούμενον Δάνουβιν κτλ.»

356.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,20, πλ. 0,14, ὑπ' ἀμαθεστάτου ἀντιγραφέως γεγραμμένον κατὰ τὸ 1634, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 317 συγκείμενον, ἐλλιπὲς ὅμως τῆς ἀρχῆς. Περιέχει ἀναμὶξ Λόγους Πατέρων τινῶν τῆς Ἐκκλησίας καὶ Βίους καὶ Μαρτύρια ἁγίων· περὶ δὲ τὸ τέλος εὕρηται καὶ ἡ ψευδεπίγραφος Ἀποκάλυψις Ἰωάννου τοῦ Θεολόγου ὡς καὶ ἡ Ἀποκάλυψις τῆς ὑπεραγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ἡ ἀρχὴ ἔχει οὕτω: «Ὅτε κατέβησαν οἱ ἀρχάγγελοι μετὰ τοῦ ἀρχιστρατήγου Μιχαὴλ καὶ ἐδέξαντο τὸ ἅγιον σῶμα καὶ πνεῦμα τῆς ὑπεραγίας Θεοτόκου κτλ.»

357.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 49 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: Ὁμιλίας εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον ἐν φράσει κοινῇ.

358.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,10, πλ. 0,8, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 240 συγκείμενον. Περιέχει: Νικήτα τοῦ Ἡρακλείας Ἐξήγησιν εἰς τὸν εἰς τὰ Γενέθλια Λόγον Γρηγορίου τοῦ Θεολόγου· μεθ' ἣν τάσσονται ἀνωνύμως Λόγοι ΡΙΔ' Ἀντωνίου τοῦ ἐπικαλουμένου Μέλισσα.

359.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,14, πλ. 0,12, κατὰ τὸ 1648 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 144 συγκείμενον. Ἐπιγέγραπται: Τοῦ ταπεινοῦ ἱερομονάχου καὶ διδασκάλου Ἀλβέρτου Μαρίνου τοῦ ἐκ Χίου Λόγος εἰς τὴν ἁγίαν καὶ μεγάλην καὶ θεόσωμον σταύρωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἤγουν τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ πρωῒ ἐν φράσει κοινῇ. Εἶτα ἕπεται: τοῦ Χρυσοστόμου Λόγος εἰς τὸν Εὐαγγελισμόν, καὶ Γερμανοῦ Κωνσταντινουπόλεως ὅμοιος εἰς τὴν αὐτὴν ἑορτήν· μεθ' ὃν Ἀποκάλυψις Ἀναστασίας μοναχῆς, ἐν φράσει κοινῇ.

360.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,23, πλ. 0,15, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 211 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Ἐπιγέγραπται: Προθεωρία κεφαλαιώδης περὶ τῶν ἐν τῇ ἱερουργίᾳ γινομένων συμβόλων καὶ μυστηρίων ποιηθεῖσα παρὰ Νικολάου ἐπισκόπου Ἀνδίδων (:) ἐκ προτροπῆς καὶ ἀξιώσεως τοῦ ἱερωτάτου ἐπισκόπου Φυτίας τοὔνομα Βασιλείου (ἄγνωστος δ' ἡμῖν ἐστιν ἄλλοθεν ὡς συγγραφεὺς ὁ ἱεράρχης οὗτος). Εἶθ' οὕτως ἕπονται: τὰ Διαλεκτικὰ εἴτε Φιλόσοφα Κεφάλαια Ἰωάννου τοῦ Δαμασκηνοῦ, ἀρχόμενα ἐκ τοῦ: Περὶ οὐσίας καὶ φύσεως καὶ μορφῆς· μεθ' ἃ: ἡ Ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου Πίστεως τοῦ αὐτοῦ.

361.

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλ. 0,17, ὑπὸ δεξιᾶς χειρὸς κατὰ τὴν Ι' ἑκατονταετηρίδα κεκαλλιγραφημένον, ἐκ φύλλων δὲ 237 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει δύο φύλλων ἐκρυέντων. Περιέχει: Ἀντιόχου τοῦ ἐπικαλουμένου Πανδέκτου Ὁμιλίας ΡΛ'.

362.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλ. 0,17, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 345 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχει: Ἀδήλου Ὁμιλίας εἰς τὰ Εὐαγγέλια τῶν κυριακῶν τοῦ ἐνιαυτοῦ· μεθ' ἃς εὕρηνται: Διδασκαλίαι ΙΓ', ὧν αἱ ὕστεραι Ε' ἐπιγράφονται: Πρὸς μοναχούς, ἡ δὲ τελευταία: Καθολικὴ Διδασκαλία.

363.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλ. 0,15, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἄνευ ἀρχῆς καὶ τέλους, ἐκ φύλλων δὲ 421 συγκείμενον. Περιέχει: Μαρτύριον τοῦ ἁγίου Γεωργίου· μεθ' ὃ ἕπονται Λόγοι πανηγυρικοὶ τῶν ἑξῆς ἁγίων πατέρων, οἷον: Χρυσοστόμου, Γερμανοῦ Κωνσταντινουπόλεως, Γρηγορίου τοῦ Θεολόγου, Ἐφραὶμ τοῦ Σύρου, Θεοδώρου τοῦ Στουδίτου, Μαρτύριον τῶν ἁγίων Τεσσαρά-

κοντα, Ἀμφιλοχίου Ἰκονίου, Βίος καὶ πολιτεία Πέτρου τοῦ Ἀθωνίτου, Ἀθανασίου Ἀλεξανδρείας, Ταρασίου Κωνσταντινουπόλεως, Μαρτύριον τοῦ Ἀποστόλου Φιλίππου, Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος, Πρόκλου Κωνσταντινουπόλεως, Διήγησις περὶ τῆς ἁγίας εἰκόνος τοῦ Ἰησοῦ Χριστοῦ τῶν Χαλκοπρατείων, Διήγησις περὶ τοῦ ὁσίου Εὐφροσύνου, Μαρτύριον τοῦ ἱερομάρτυρος Βλασίου, Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου.

364.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλ. 0,15, κατὰ τὴν ΙϚ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 152 συγκείμενον. Ἐπιγέγραπται: «Τὸ παρὸν βιβλίον ἔχει πολλὰ ἀναγκαῖα τῶν θείων Θεολόγων καὶ διδασκάλων καὶ τοῦ ἁγιωτάτου πατριάρχου μεγάλης Ἀντιοχείας Ἀναστασίου. Ἔστι δὲ ἐν φράσει κοινῇ. Εἶθ' οὕτως ἕπεται: Χρονογραφικὸν ἐν συντομίᾳ, ἀρχόμενον ἀπὸ Κωνσταντίνου τοῦ μεγάλου καὶ καταλῆγον μέχρι τῆς βασιλείας Μουρὰτ τοῦ Δ′. Ἔστι δὲ καὶ τοῦτο ἐν φράσει κοινῇ· μετὰ δὲ τοῦτο ἕπεται: Διήγησις περὶ τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῶν λοιπῶν ἁγίων τόπων· μεθ' ἣν: Κατάλογος τῶν πατριαρχῶν τῆς Κωνσταντινουπόλεως μέχρι Θεολήπτου τοῦ Β′.

365.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 1,32, πλ. 0,22, τῷ ,ζπα′ (+ 1573) ἔτει γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 337, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχει: Λόγους ΜΖ′, ὧν ὁ Β′ ἐπιγέγραπται: «Προοίμιον ἐκ τῆς βίβλου τῶν ἑρμηνειῶν τῶν θείων ἐντολῶν τοῦ Κυρίου, ἔχον ἐν ἐπιτομῇ τὴν ὅλην πραγματείαν τοῦ βιβλίου ἀπηνθισμένην ἀπό τε τοῦ ἱεροῦ Χρυσοστόμου καὶ ἑτέρων ἁγίων Πατέρων, καὶ ἐξ αὐτῶν ἔτι τῶν Κανόνων τῶν οἰκουμενικῶν Συνόδων. Ἐν τέλει δὲ εὕρηται καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ: Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.

366.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,20, πλ. 0,15, περὶ τὰς ἀρχὰς τῆς ΙΖ′ ἑκατονταετηρίδος γεγραμμένον, ἐκ φύλλων δὲ 453 συγκείμενον. Ἐπιγέγραπται: «Κυριακαὶ τῶν Εὐαγγελιστῶν τοῦ ὅλου ἐνιαυτοῦ ποίημα τοῦ σοφωτάτου ἱερομονάχου Μαξίμου τοῦ Πελοποννησίου».

367.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλ. 0,15, κατὰ τὴν ΙΖ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 179 συγκείμενον. Περιέχει: τοῦ αὐτοῦ Μαξίμου ἱερομονάχου τοῦ Πελοποννησίου Ὁμιλίας ΝΓ′ εἰς τὰς κυριακὰς τοῦ ὅλου ἐνιαυτοῦ.

368.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλ. 0, 15, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 180 συγκείμενον, ἐλλιπὲς ὅμως ἐν τῇ ἀρχῇ. Περιέχει: Γρηγορίου τοῦ Θεολόγου Λόγους μετὰ Σχολίων σποράδην περὶ τὴν ᾤαν κειμένων.

369.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,23, πλ. 0,16, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 236 συγκείμενον, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Περιέχει: Ἀδήλου ἐκκλησιαστικοῦ Πατρὸς Λόγους Θ' ἀριθμουμένους ἀπὸ τοῦ ΚΔ' μέχρι τοῦ ΛΓ'. Ἐν τοῖς πρώτοις 11 φύλλοις περιέχονται τὰ παραλειπόμενα τοῦ ΚΓ' λόγου· ὁ δὲ ΚΔ' ἐπιγέγραπται οὕτω: «Ὅτι χρὴ τὸν τοῦ λογικοῦ ποιμνίου Χριστοῦ προηγούμενον σκοπεῖν καὶ ἀνακρίνειν ἀκριβῶς πρῶτον τὰ καθ' ἑαυτόν· δεῖ γὰρ αὐτὸν μαθεῖν καὶ πράσσειν ἀεὶ τὸ θέλημα τοῦ Θεοῦ, καὶ οὕτω διδάξαι ἄλλους τοῦτο ποιεῖν κτλ.»

3'.0.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλ. 0,16, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 186 συγκείμενον, ἀλλ' ἄνευ ἀρχῆς καὶ τέλους. Περιέχει: Ἐκλογὰς ἠθικὰς ἀπό τε τῶν ἁγίων Γραφῶν καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας· εἶθ' οὕτως ἕπεται: Διάλεξις χριστιανοῦ πρὸς Ἰουδαῖον πῶς καὶ τίνα τρόπον καταβάλλει αὐτόν· μεθ' ἣν εὕρηνται τὰ ἑξῆς: Τοῦ ἁγιωτάτου πατριάρχου Θεουπόλεως Πέτρου μεγάλης Ἀντιοχείας Ἐπιστολὴ πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Βραδένσης Ἀπηλεγμένσης περὶ πρωτοκαθεδρίας καὶ περὶ τῶν ἀζύμων.—Συμεὼν Θεσσαλονίκης: Ἑρμηνεία περί τε τοῦ ἱεροῦ ναοῦ καὶ τῶν ἐν αὐτῷ ἱερέων κτλ.—Ἐκλογαὶ ἐκ τοῦ τυπικοῦ τοῦ ἁγίου Ὄρους.—Ἀθανασίου Ἀλεξανδρείας Λόγος εἰς τό: «Πορευθέντες εἰς τὴν κατέναντι κώμην καὶ εὑρήσετε πῶλον δεδεμένον.—Βασιλείου τοῦ μεγάλου Λόγος εἰς τό: «Πρόσεχε σεαυτῷ».—Τελευταῖον δὲ Ἰωάννου τοῦ Χρυσοστόμου Λόγος εἰς τὰ Βάϊα.

371.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,16, πλ. 0,11, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 69 συγκείμενον. Περιέχει διαφόρων Πατέρων τῆς Ἐκκλησίας Λόγους διδακτικοὺς ἐν φράσει κοινῇ.

372.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,17, πλ. 0,11, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 141 συγκείμενον. Ἐπιγέγραπται: Τοῦ ἱεροῦ Αὐγουστίνου ἐπισκόπου Ἱππῶνος Προσευχαὶ πάνυ θεολογικαί, θεωρητικαί, ἐρωτικαί, καὶ κατανυκτικαί, καλούμεναι Μονόλογοι, ὡς ἐπὶ σχήματι διελέξεως πρὸς τὸν Θεόν, εἰς ὠφέλειαν καὶ σωτηρίαν τῶν διὰ προσευχῆς φιλούντων ἀεὶ τῷ Θεῷ συνεῖναι, ἑρμηνευθεῖσαι εἰς τὴν Ἑλλάδα φωνὴν παρὰ Δημητρίου τοῦ Κυδώνη.

373.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,12, πλ. 0,8, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 209 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἔν τε τῇ ἀρχῇ καὶ τῷ τέλει. Μέγα μέρος τῶν περιεχομένων ἐγένετο ὑπὸ τῆς νοτίδος ἐξίτηλον. Περιέχει: α') Ἀδήλου Θεολογικὰ ζητήματα εἰς ἐρωτήσεις ΡΚϚ' καὶ ἰσαρίθμους ἀποκρίσεις.—β') Ἐκ τῶν Ἐπῶν Γρηγορίου τοῦ Θεολόγου.—γ') Ἀποφθέγματα ἁγίων Πατέρων τρίστιχα ψυχωφελῆ.—δ') Γρηγορίου τοῦ Θεολόγου Στίχους πα-

ραινετικούς. — ε') Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων Γνώμας ἀπαγούσας τῶν φθαρτῶν καὶ προσκολλώσας τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον. — ϛ') Εἰς εἰκόνα τοῦ Σωτῆρος τοῦ Χριστοῦ Στίχους κατανυκτικούς. — ζ') Σοφῶν Ἑλλήνων ἀρχαίων ἀνδρῶν προφητείαν εἰς τὴν Σάρκωσιν. — η') Ἰσιδώρου πατριάρχου Κωνσταντινουπόλεως (ἐξίτηλον). — θ') Ἐπικτήτου Ἐγχειρίδιον (πολλὰ τὰ ἐξίτηλα). — ι') Κατάλογον διὰ στίχων ἰάμβων τῶν βασιλέων καὶ πατριαρχῶν τῆς Κωνσταντινουπόλεως. Καταλήγει δὲ εἰς Ἰωάννην Δ' τὸν Παλαιολόγον καὶ εἰς Κάλλιστον τὸν Β' (1395).

374.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,41, πλ. 0,29, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 278 συγκείμενον. Ἐπιγέγραπται: «Λόγοι εἰς τὰς θεομητορικὰς ἁγίας ἑορτὰς καὶ εἰς ἑορτάς τινων ἁγίων τῶν κατὰ τὸν κύκλον τοῦ ἐνιαυτοῦ ὑπὸ τῆς ἱερᾶς Ἐκκλησίας ἑορτάζεσθαι διαταχθέντων, ἕτεροί τε Λόγοι εἰς ἑρμηνείαν Προφητειῶν καὶ ἄλλοι Λόγοι μετανοίας, μόχθοι πάντες θείᾳ βοηθείᾳ καὶ χάριτι Γερασίμου τοῦ ταπεινοῦ καὶ ἀναξίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.» Τὸ τεῦχος τοῦτο ὑπῆρχε κτῆμα τοῦ διδασκάλου Ἰωάννου ἱερομονάχου τοῦ ἐκ Λίνδου τῆς Ῥόδου, ὃς μετὰ τὸν αὐτοῦ θάνατον ἀφιέρου αὐτὸ τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Σκοπέλου. Ἔστι δὲ ὁ Ἰωάννης οὗτος ὁ καὶ τὸ ἱερὸν Ἆσμα τῶν Ἀσμάτων ἐξηγησάμενος, τὸ Ἐνετίῃσιν ἐκδοθὲν τῷ 1785.

375.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,14, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 311 συγκείμενον, ἐλλιπὲς δὲ ἐν τῇ ἀρχῇ καὶ ἐν πολλοῖς ἐκ τῆς νοτίδος ἐξίτηλον. Περιέχονται ἐν αὐτῷ σύμμικτά τινα, οἷον: α') Ἀδήλου Ῥήσεις γραφικαὶ ἑρμηνευόμεναι. — β') Τοῦ αὐτοῦ Ἀνατροπὴ τοῦ: «πενίη σοφίην ἔλαχε». — γ') Ἐξηγητικὰ ἐκ τῆς Παλαιᾶς γραφῆς, κτλ. — δ') Τοῦ Χρυσοστόμου Λόγος τις. — ε') [τοῦ αὐτοῦ] Εἰς τὰ ὑπόλοιπα τοῦ Ν'. — ϛ' Συνέχεια τῆς εἰς τοὺς Ψαλμοὺς ἑρμηνείας. — γ') Τοῦ σοφωτάτου Βλεμ[μ]ίδου κυροῦ Νικηφόρου ἐκ τοῦ τρίτου αὐτοῦ βιβλίου Περὶ πίστεως Λόγος πρῶτος. — η') Τοῦ αὐτοῦ Περὶ ψυχῆς. — θ') Βασιλείου τοῦ μεγάλου Λόγος πρὸς Αντόϊον ἐπίσκοπον Μελιτινῆς. — ι') Ὑποθῆκαι διαφόρων Πατέρων καὶ τῶν θύραθεν περὶ τοῦ ἀνθρωπίνου βίου. — ια') Νεμεσίου ἐπισκόπου Ἐμέσης Λόγος περὶ φύσεως ἀνθρώπου. — ιβ') Περὶ τῶν αἰχμαλωσιῶν τῶν Ἰουδαίων. — ιγ') Ἀπόδειξις ὅτι τὰ βρώματα ἡ ψυχὴ ἀναλίσκει. — ιδ') Ὅτι ἐκ τοῦ Πατρὸς μόνου τὸ Πνεῦμα ἐκπορεύεται. — ιε') Λουκιανοῦ Διάλογοι. Χάρων ἢ Ἐπισκοποῦντες καὶ Κατάπλους ἢ Τύραννος. — ιϛ') Λόγος ἐπιγραφόμενος: Δραματικὸς ὁ Λόγος οὗτος ἦν, ὑποκρινόμενος τοὺς πενθοῦντας καὶ καταμεμφόμενος εὐφυῶς αὐτοῖς. — ιζ') Λουκιανοῦ Λούκιος ἢ Ὄνος. Περιέχει καὶ ἄλλα τινὰ τὰ πλεῖστον ἐξίτηλα.

376.

Τεῦχος περγαμηνὸν μήκ. 0,23, πλ. 0,17, κατὰ τὴν ΙΑ' ἑκατονταετη-

ρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 6 συγκείμενον. Περιέχει λείψανον ἐκ τοῦ εἰς τὸν μέγαν Βασίλειον Ἐπιταφίου Γρηγορίου τοῦ Θεολόγου § νϛ'—ξε'.

377.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλ. 0,15, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 418 συγκείμενον. Ἐπιγέγραπται: «Μελετίου τοῦ ὁσιωτάτου καὶ σοφωτάτου Ἀπανθισμός, ἡ Συλλογὴ τῆς Παλαιᾶς καὶ νέας Διαθήκης» διὰ στίχων πολιτικῶν συντεθειμένος, εἰς Ρϟ' Λόγους διῃρημένος, καὶ κατὰ στοιχεῖον τοῦ ἀλφαβήτου ἐκτεθειμένος. Τὰ πρῶτα 23 φύλλα τοῦ τεύχους περιλαμβάνουσι τὸν Βίον καὶ τὴν πολιτείαν καὶ μερικὴν θαυμάτων διήγησιν τοῦ συγγραφέως. Συνήκμαζε δὲ οὗτος τῷ αὐτοκράτορι Μιχαὴλ Παλαιολόγῳ τῷ λατινόφρονι, ὃς καὶ ἐγλωσσοτόμησε τὸν ἱερὸν ἄνδρα ὡς ὑπεραμυνόμενον τῶν ὀρθῶν δογμάτων τῆς Ἐκκλησίας, ἐφ' ᾧ δὴ καὶ Ὁμολογητὴς ἐκλείσθη.

378.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλ. 0,16, ἐν Ἰωαννίνοις γεγραμμένον κατὰ τὸ αψιβ', ὡς σημειοῦται περὶ τὸ τέλος, ἐκ φύλλων δὲ 611 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: Ἑρμηνείαν εἰς ἐννεακαίδεκα Λόγους Γρηγορίου τοῦ Θεολόγου· εἶθ' οὕτως εὕρηται: Ἐξήγησις τῶν Τετραστίχων τοῦ αὐτοῦ, ὑπὸ Ἰωάννου Ζωναρᾶ καὶ Νικήτα Δαβὶδ τοῦ φιλοσόφου. Μετὰ δὲ ταύτην ἕπονται καὶ τὰ ἑξῆς: α') Βασιλείου τοῦ μεγάλου: Λόγος εἰς τὴν Χριστοῦ Γέννησιν.—β') Γρηγορίου Νύσσης: Λόγος εἰς τὴν Γέννησιν καὶ εἰς τὰ ἐν Βηθλεὲμ ὑπὸ Ἡρώδου ἀναιρεθέντα νήπια.—γ') Γερμανοῦ Κωνσταντινουπόλεως: Λόγος εἰς τὴν σφαγὴν τῶν ἁγίων νηπίων, καὶ εἰς τὴν ἀρχὴν τοῦ κατὰ Μάρκον Εὐαγγελίου.—δ') Γρηγορίου Νύσσης: Λόγος εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου: «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων» καὶ τὰ ἑξῆς.—ε') Τοῦ αὐτοῦ: εἰς τὸν ϛ' Ψαλμὸν περὶ τῆς ὀγδόης.—ϛ') Τοῦ αὐτοῦ: Εἰς τὸ ἅγιον καὶ σωτήριον Πάσχα.—ζ') Τοῦ αὐτοῦ: Εἰς τὴν λεγομένην τῷ ἐπιχωρίῳ τῶν Καππαδοκῶν ἔθει Ἐπισωζωμένην, ἥτις ἐστὶν ἡ Ἀνάληψις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.—η') Τοῦ αὐτοῦ: Λόγος εἰς τὸ ἅγιον Βάπτισμα.—θ') Τοῦ Χρυσοστόμου: Εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου.—ι') Τοῦ αὐτοῦ: Εἰς τὰ ἅγια Θεοφάνεια.—ια') Τοῦ αὐτοῦ: Εἰς τὴν δευτέραν παρουσίαν.—ιβ') Τοῦ αὐτοῦ: Εἰς τὸν Εὐαγγελισμόν.—ιγ') Τοῦ αὐτοῦ: Εἰς τὴν Χριστοῦ Γέννησιν.—ιδ') Κυρίλλου Ἀλεξανδρείας: Περὶ Τριάδος ἑνὸς Θεοῦ.—ιε') Τοῦ Χρυσοστόμου: Εἰς τὴν ἀρχὴν τῶν νηστειῶν, καὶ περὶ νηστείας.—ιϛ') Τοῦ αὐτοῦ: Εἰς τὴν πόρνην καὶ εἰς τὸν Φαρισαῖον.—ιζ') Τοῦ αὐτοῦ: Εἰς τὴν Ἀνάστασιν τοῦ Κυρίου.—ιη') Τοῦ αὐτοῦ: Λόγος περὶ ἐλεημοσύνης καὶ εἰς τὰς δέκα παρθένους.—ιθ') Τοῦ αὐτοῦ: Περὶ ἀκαταλήπτου πρὸς Ἀνομοίους Λόγος Α'.—κ') Τοῦ αὐτοῦ: Περὶ ἀκαταλήπτου Λόγος Γ'—, καὶ κα') Τοῦ αὐτοῦ: Περὶ εἱμαρμένης καὶ προνοίας Λόγος Α'.

379.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,16, πλ. 0,12, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 46 συγκείμενον, ἀλλ'

ἐλλιπὲς τῆς ἀρχῆς. Περιέχει Ἀδήλου: Χριστιανικὴν Διδασκαλίαν.

380.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,17, πλ. 0,14, κατὰ τὸ αχι' γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 46 συγκείμενον. Ἐπιγέγραπται: «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κλήμεντος πάπα Ῥώμης πρὸς τὸν ἅγιον Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου», ἤτοι τὰ λεγόμενα Κλημέντια.

381.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλ. 0,14, περὶ τὴν ΙΘ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 148 συγκείμενον. Ἐπιγέγραπται: «Διδασκαλία χριστιανικὴ κατ' ἐρωταπόκρισιν περὶ τῶν ἀναγκαίων δογμάτων τῆς πίστεως καὶ τῶν κατὰ τὴν πίστιν ἔργων συντόμως θ' ἅμα καὶ ἐντελῶς πραγματευομένη».

382.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,17, κατ' ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 311 συγκείμενον. Περιέχονται ἐν αὐτῷ: α') Μιχαὴλ τοῦ Γλυκᾶ Λόγοι ΜΖ', ἢ μᾶλλον Ἐπιστολαὶ πρὸς διάφορα πρόσωπα, ἐπιλύουσαι τὰ ἀσαφέστερα καὶ δυςληπτότερα χωρία τῆς ἁγίας Γραφῆς, καὶ κατ' ἀλλοίαν διαίρεσιν ἐκτεθειμέναι ἢ ὅπως ἔχουσιν ἐν τῇ τοῦ Migne ἐκδόσει (Πατρολογ. τόμ. ΡΝΗ'). Διὸ δὴ καὶ ἐρευνητέον ἐστὶ τὸ τεῦχος παρὰ τῶν θεολογούντων μήποτ' ἄρα περιέχῃ καὶ ἀνέκδοτά τινα.—β') Ἔκ τινος βιβλίου λατινικοῦ τυπωθέντος ἐν Παταβίῳ κατὰ τὸ αχκη' ἔτος. Ἄρχεται: «Θέλοντες οἱ Λατῖνοι νὰ ἀποδείξουν ὅτι ἡ Παναγία Θεοτόκος ἦτον ἀμέτοχος τοῦ προπατορικοῦ ἁμαρτήματος ὑποθέτουσιν ὡς θεμέλιον, κτλ». Ἔχει δὲ καὶ σημειώσεις περὶ τὴν ᾤαν.—γ') Ἐκ τοῦ θεολογικοῦ βιβλίου, ὅπερ ἐξέδωκεν ὁ νῦν Ῥεζανίου μητροπολίτης, οὗ τὸ ἐπίκλην Ἰαβόρσκιος, Πότερον ἡ Θεοτόκος ἦν ἀναμάρτητος; καὶ τίνι τρόπῳ; Φέρει δὲ καὶ τοῦτο πλείστας σημειώσεις περὶ τὴν ᾤαν.—δ') Ἀνωνύμου: Ἐπιστολὴ πρός τινα τῶν πατριαρχῶν περὶ τοῦ βαπτίσματος τῶν αἱρετικῶν Λουτέρων καὶ Καλβίνων, εἰ ἔστιν ἀληθὲς βάπτισμα καὶ τῇ ὀρθοδόξῳ ἡμῶν Ἐκκλησίᾳ δεκτόν.—ε') Μαξίμου ταπεινοῦ ἐπισκόπου Κυθήρων τοῦ Μαργουνίου ········ εἰρημένων ἐν τῷ παρόντι Λόγῳ, καὶ ὅτι ῥᾳδία ἡ τῶν Ἐκκλησιῶν ἕνωσις ἔκ γε τῆς ὁμοφωνίας τῶν ῥητῶν διδασκάλων ἀνατολικῶν τε καὶ δυτικῶν, καὶ προτροπὴ εἰς αὐτήν. Πρὸ τῆς τοῦ βιβλίου ἐπιγραφῆς ἐν ἀρχῇ φέρεται ἡ σημείωσις ἥδε: «Καὶ τόδε πρὸς τοῖς ἄλλοις Γερασίμου Βυζαντίου πέλει». Ἦν δ' οὗτος ὁ τοῦ ἐν Πάτμῳ ἑλληνικοῦ φροντιστηρίου καθηγησάμενος μετὰ Μακάριον τὸν πάνυ ἀπὸ τοῦ 1737—1740 ἔτους, ἀνὴρ ἐπί τε σοφίᾳ καὶ ἁγιότητι βίου μέγα κλεϊζόμενος, οὗ ἡ δεξιὰ χεὶρ διατηρεῖται ἐν τοῖς τιμίοις λειψάνοις τῆς ἱερᾶς μονῆς τοῦ Θεολόγου.

383.

Τεῦχος ἐκ χάρτου στιλπνοῦ μήκ. 0,16, πλ. 0,11, κατὰ τὴν ΙΔ' εἴτε τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 365 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἑνὸς φύλλου ἐκ τῆς ἀρχῆς. Περιέχονται ἐν αὐτῷ τὰ ἑξῆς: α') Μαξίμου τοῦ Ὁμολογητοῦ Λόγοι ΟΑ', τουτέστιν ἡ περὶ διαφόρων

ἠθικῶν ὑποθέσεων Ἀνθολογία αὐτοῦ, ἀπό τε τῶν Θύραθεν σοφῶν, τῶν τε ἱερῶν Γραφῶν καὶ τῶν Ἐκκλησιαστικῶν Πατέρων.—β′) Σχόλια διάφορα. Κεφάλαια τοῦ βιβλίου τῆς Κλίμακος. Ἐκ τοῦ Βίου τοῦ ὁσίου Ἰωάννου τῆς Κλίμακος.—γ′) Ἑτοιμολογία (οὕτω) εἰς τὰ κδ′ στοιχεῖα.—δ′) Τοῦ ἁγίου Ἰωάννου τῆς Κλίμακος: Ἀνακαιφαλαίωσις πάντων τῶν Λόγων αὐτοῦ.—ε′) Σύντομος ἐξήγησις καὶ διήγησις τοῦ τριμεροῦς τῆς ψυχῆς.—ϛ′) Μυσταγωγία ᾗ ἐμυσταγωγήθη ὁ ἅγιος Γρηγόριος ὁ θαυματουργὸς παρὰ τοῦ Θεολόγου Ἰωάννου φανέντος καθ' ὕπαρ.—ζ′) Ὅροι σὺν Θεῷ διάφοροι κατὰ τὴν παράδοσιν καὶ πίστιν τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας.—η′) Περὶ ἀρετῶν ψυχῆς.—θ′) Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου: Τετράστιχα.—ι′) Τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας Πέτρου: Ἀντιγραφὴ πρὸς τὸν ἀρχιεπίσκοπον Γρανδένσις ἤτοι Ἀκυληΐας τουτέστιν τῆς Βενετίας, περὶ τοῦ μὴ εἶναι δεκτὸν ὡς μηδὲ ἀκουσθέν ποτε τὸ ὀνομάζεσθαι πατριάρχην τοιοῦτον ἐπίσκοπον, καὶ περὶ τῶν ἀζύμων.—ια′) Νείλου μοναχοῦ: Πόνημα διὰ στίχων.—ιβ′) Ἐκ τοῦ Νομοκάνονός τινα,—καὶ ιγ′) Στίχοι ἐπιγεγραμμένοι κατὰ τοῦ πονηροῦ.

384.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,29, πλ. 0,21, κατὰ τὴν ΙΗ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 198 συγκείμενον. Περιέχει τινὰ ἐκ τῶν συγγραμμάτων Συμεὼν τοῦ ἀρχιεπισκόπου Θεσσαλονίκης. Οὐκ ὀλίγα φύλλα ὅμως ἀπεσχίσθησαν ἐν τῷ μεταξὺ ὑπὸ χειρὸς βανδαλικῆς.

385.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλ. 0,14, κατὰ τὸ 1808 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 53 συγκείμενον. Περιέχει τὰς: Πνευματικὰς Ἐρωταποκρίσεις κτλ. τοῦ ἀποστολικοῦ ἱεροκήρυκος Ἰωάννου τοῦ ἐκ Λίνδου, τύποις ἐκδοθείσας Ἐνετίησιν τῷ ͵αψπε′ παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων. Ἐν δὲ τῷ τέλει εὑρηται: Ὀρθόδοξος ὁμολογία τοῦ αὐτοῦ συγγραφέως, καὶ Διδαχὴ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Κοσμᾶ τοῦ ἱεροκήρυκος καὶ ἀξιομακαρίστου.

386.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,16, περὶ ἀρχομένην τὴν ΙΖ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 56 συγκείμενον, ἄνευ ἀρχῆς καὶ τέλους· ἐξερρύησαν γὰρ ἐκ μὲν τῆς ἀρχῆς φύλλα 6, ἐκ δὲ τοῦ τέλους οὐκ ὀλίγα. Ἔστι δὲ Ἰωάννου τοῦ Δαμασκηνοῦ ἡ Ἔκδοσις τῆς ὀρθοδόξου πίστεως.

387.

Τεῦχος περγαμηνὸν μήκ. 0,20, πλ. 0,15, κατὰ τὴν ΙΔ′ ἑκατονταετηρίδα καθαρῶς γεγραμμένον, ἐκ φύλλων δὲ 314 συγκείμενον. Περιέχονται ἐν αὐτῷ ἐννεακαίδεκα Λόγοι Γρηγορίου τοῦ Θεολόγου, ὧν οἱ τρεῖς τελευταῖοι ἐπιγράφονται: Περὶ Υἱοῦ Λόγος πρῶτος καὶ δεύτερος, τρίτος δὲ ὁ Περὶ τοῦ ἁγίου Πνεύματος. Καὶ οἱ μὲν περὶ τοῦ Υἱοῦ δύο πρότεροι Λόγοι φέρουσι καὶ ἑρμηνείαν τοῦ Ἠλία Κρήτης, ὡς ὑπολαμβάνομεν.

388.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,29, πλ. 0,21, κατὰ τὴν ΙΖ′ ἑκα-

τονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 179 συγκείμενον. Περιέχει τινὰ ἐκ τῶν συγγραμμάτων Μαξίμου τοῦ Ὁμολογητοῦ.

389.

Τεῦχος ἐκ χάρτου παχέος μήκ. 0,22, πλ. 0,16, κατὰ τὴν ΙΕ΄ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 328 συγκείμενον, ἐλλιπὲς δὲ ἑνὸς φύλλου ἐν τῷ τέλει. Ἐν τούτῳ περιέχονται: α΄) Ἡ τοῦ Ἀριστέου πρὸς Φιλοκράτην ἐπιστολὴ περὶ τῆς ὑπὸ τῶν ΟΒ΄ πρεσβυτέρων γενομένης μεταγλωττίσεως τῆς Παλαιᾶς θείας Γραφῆς, καὶ β΄) Σειρὰ τῶν Πατέρων εἰς τὰ ἀπορούμενα τῆς Παλαιᾶς θείας Γραφῆς.

390.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,28, πλ. 0,20, κατὰ τὴν ΙΗ΄ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 114 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχονται ἐν αὐτῷ τὰ ἑξῆς: α΄) Τοῦ μακαρίου Θεοδωρήτου: Εἰς τὰ ἄπορα τῆς θείας Γραφῆς κατ' ἐκλογήν.—β΄) Κουρνούτου: Θεωρία περὶ τῶν τῆς φύσεως (ἡ ἀρχὴ αὐτοῦ λείπει).—γ΄) Παλαιφάτου: Περὶ ἀπίστων ἱστοριῶν.—δ΄) Ὡραπόλλωνος Νειλώου: Ἱερογλυφικά,—καὶ ε΄) Ἰσοκράτους: ὁ Πανηγυρικὸς ἡρμηνευμένος διὰ τῆς λεγομένης ψυχαγωγίας.

391.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,33, πλ. 0,22, κατὰ τὴν ΙΗ΄ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 68 συγκείμενον. Περιέχονται ἐν αὐτῷ τὰ ἑξῆς: α΄) Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Μεθοδίου ἐπισκόπου καὶ μάρτυρος: Συμπόσιον παρθένων δέκα.—β΄) Τοῦ αὐτοῦ: Ἐκ τοῦ περὶ Ἀναστάσεως Λόγου.—γ΄) Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀνδρέου ἐπισκόπου Κρήτης: Λόγος εἰς τὴν ὕψωσιν τοῦ τιμίου Σταυροῦ,—καὶ δ΄) Τοῦ αὐτοῦ: Λόγοι τρεῖς Εἰς τὴν Κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου καὶ ἕτερος: Εἰς τὸν ἀνθρώπινον βίον καὶ εἰς τοὺς κοιμηθέντας.

392.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,28, πλ. 0,22, κατὰ τὴν ΙΗ΄ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 69 συγκείμενον. Ἐπιγέγραπται: Ἀκολουθία τῆς μεγάλης ἑβδομάδος, ἧς ἐν τέλει φέρεται τὸ σημείωμα τόδε: «Ἡ τῶν παρόντων τροπαρίων παράφρασις τυγχάνει γε ἀτρεκῶς παρά τε τοῦ μακαριωτάτου σοφωτάτου ἐν ἱεροδιδασκάλοις κυρίου Γερασίμου τοῦ Μάνεσι ἡμετέρου διδασκάλου τε καὶ καθηγητοῦ».—β΄) Διάφορα ζητήματα περὶ τῶν ἀντιφώνων τροπαρίων καὶ τῆς ἐξηγήσεως αὐτῶν.—γ΄) Ἑρμηνεία εἴς τινα τῶν Τετραστίχων γνωμικῶν Γρηγορίου τοῦ Θεολόγου,—καὶ δ΄) Τοῦ σοφωτάτου Θεοφίλου τοῦ Κορυδαλλέως, τοῦ ὕστερον διὰ τοῦ θείου καὶ μοναχικοῦ σχήματος Θεοδοσίου μετονομασθέντος: Ἔκθεσις περὶ ἐπιστολικῶν τύπων.

393.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλ. 0,15, κατὰ τὸ 1660 ἔτος γεγραμμένον, ὡς ἐν τῷ τέλει σημειοῦται, ἐκ φύλλων δὲ 235 συγκείμενον. Περιέχει: Λόγους ΛΘ΄ ἐκ τοῦ Κυριακοδρομίου Μαξίμου τοῦ Πελοποννησίου.

394.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,15, πλ. 0,10, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 443 συγκείμενον. Περιέχει: Λόγους πανηγυρικοὺς καὶ Ἐγκώμια διαφόρων ἐκκλησιαστικῶν Πατέρων καὶ Μαρτύρια ἁγίων.

395.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,16, κατὰ τὸ αψνε' ἔτος γεγραμμένον, ὡς ἐν τῷ τέλει σημειοῦται, ἐκ φύλλων δὲ 305 συγκείμενον. Ἐπιγέγραπται: Τοῦ λογιωτάτου κυρίου Εὐστρατίου Ἀργέντου Χίου Περὶ τοῦ Κυριακοῦ Δείπνου. Διήρηται δὲ εἰς τρία τμήματα.

396.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλ. 0,15, κατὰ τὸ αψζ' ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ 257 συγκείμενον. Ἐν αὐτῷ περιέχονται τὰ ἑξῆς: α') Θεοδωρήτου ἐπισκόπου Κύρου: Θείων δογμάτων ἐπιτομή.—β') Ἰωάννου τοῦ Δαμασκηνοῦ: Εἰσαγωγὴ δογμάτων στοιχειώδης.—γ') Τοῦ αὐτοῦ: Ἐπιστολὴ πρὸς Ἰορδάνην ἀρχιμανδρίτην περὶ τοῦ Τρισαγίου ὕμνου.—δ') Μαξίμου τοῦ Ὁμολογητοῦ: Πρὸς Μαρῖνον πρεσβύτερον περὶ φυσικοῦ θελήματος.—ε') Σύνοψις τῆς ἱερᾶς Θεολογίας, φιλοπονηθεῖσα εἰς ὠφέλειαν τῶν ὀρθοδόξων φιλομαθῶν παρὰ Νικολάου Κουρσούλου Ζακυνθίου διδασκάλου, φιλοσόφου καὶ θεολόγου.—ϛ') Διάλεξις περὶ Ἀγγέλων θεολογική,—καὶ ζ') Περὶ τῆς προγονικῆς ἁμαρτίας Διάλεξις θεολογική.

397.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 179 συγκείμενον. Περιέχει: Τοῦ φιλοσόφου κυροῦ Θεοδώρου τοῦ Προδρόμου Ἐξήγησιν εἰς τοὺς ἐν ταῖς θείαις καὶ δεσποτικαῖς ἑορταῖς μελουργηθέντας Κανόνας παρὰ τῶν ἁγίων καὶ σοφῶν μελῳδῶν Κοσμᾶ καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ.

398.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,16, πλ. 11, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα κεκαλλιγραφημένον, ἐκ φύλλων δὲ 93 συγκείμενον. Ἐν ἀρχῇ φέρει τὴν ἐπιγραφὴν τήνδε. «Βασιλείου τοῦ μεγάλου Κλάδοι». Ἔστι δὲ συναγωγὴ γνωμῶν τοῦ θείου Πατρός. Εἶθ οὕτως ἕπονται τοιαῦταί τινες καὶ ἐκ τῶν Γρηγορίου Ναζιανζηνοῦ καὶ Θεολόγου· μεθ' ἃς εὕρηται Σχολαρίου [τοῦ Γενναδίου]: Εὐχὴ εἰς τὸν ἕνα καὶ τρισυπόστατον Θεόν· καὶ μετὰ ταύτην: Ὠδὴ τῶν ἁγίων Ἀμβροσίου καὶ Αὐγουστίνου.

399.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλ. 0,15, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 195 συγκείμενον. Περιέχει: Ἐξήγησιν ἐκ τῶν παλαιῶν ἐξηγητῶν εἰς τοὺς ἑξῆς Λόγους Γρηγορίου τοῦ Θεολόγου, ἤτοι: Εἰς τὸ ἅγιον Πάσχα καὶ εἰς τὴν βραδυτῆτα.—Εἰς τὴν Καινὴν κυριακήν.—Εἰς τοὺς Μακκαβαίους.—Εἰς τὸν μάρτυρα Κυπριανόν.—Εἰς τοὺς Λόγους καὶ τὸν Ἐξισωτὴν Ἰουλιανόν,—καὶ Εἰς τὰ ἅγια Θεοφάνεια εἴτ' οὖν Γεννέθλια.

400.

Καὶ τοῦτο τὸ τεῦχος περιέχει Ἐξήγησιν εἴς τινας τῶν Λόγων Γρηγορίου τοῦ Θεολόγου· ἀλλ' ἔστι λίαν ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Ἀλλὰ καὶ μέρος αὐτοῦ διέσχισται κατὰ μέσον τοῦ πλάτους. Ἔστι δὲ μήκ. 0,22 καὶ πλ. 0,16, συγκείμενον ἐκ φύλλων χάρτου κοινοῦ 248, καὶ γεγραμμένον κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα.

401.

Κιβώτιον λευκοσιδήρινον χρώματος ὑποκίρρου μήκ. μὲν 0,55, πλ. δὲ 0,35 καὶ ὕψους 0,37. Ἐν τούτῳ περιέχονται ἅπαντα τὰ χειρόγραφα τετράδια τοῦ ἀειμνήστου ἱεράρχου πρώην Λαρίσσης Δωροθέου τοῦ Σχολαρίου τοῦ συντάξαντος τὸ Ταμεῖον τῆς Πατρολογίας, ἤτοι Συλλογὴν τῶν ἐν τῇ Πατρολογίᾳ, τῇ ὑπὸ τοῦ Μιγνίου (Migne) ἐν Παρισίοις ἐκδοθείσῃ, περιεχομένων κυριωτέρων ἐννοιῶν, φράσεων καὶ ὑποθέσεων κτλ. Εἰσὶ δὲ τὰ τετράδια ταῦτα ἐκδεδομένα τε καὶ μή. Καὶ τὰ μὲν ἐκδεδομένα, ὡς γνωστὸν, φθάνουσι μέχρι τοῦ Γ πλήρους· τὰ δὲ ἀνέκδοτα ἤτοι ἀπὸ τοῦ στοιχείου Δ μέχρι τοῦ Ω πλήρους περιλαμβάνονται εἰς δέκα δεσμίδας καὶ μίαν ἐπιπλέον περιέχουσαν προσθετέα· εἰς τὸ Α, Β καὶ Κ.

402.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,20, πλ. 0,15, κατ' ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα καθαρῶς γεγραμμένον, ἐκ φύλλων δὲ 40 συγκείμενον. Περιέχεται ἐν αὐτῷ: Τοῦ ταπεινοῦ ἱερομονάχου καὶ διδασκάλου Ἀλβέρτου Μαρίνου τοῦ Χίου Λόγος εἰς τὴν ἁγίαν καὶ θεόσωμον σταύρωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἤγουν τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ ἑσπέρας.

403.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 64 συγκείμενον. Ἐπιγέγραπται: Διδασκαλία χριστιανικὴ κατ' ἐρωταπόκρισιν.

404.

Τεῦχος περγαμηνὸν μήκ. 0,27, πλ. 0,21, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 221 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ, ἐξ ἧς ἐξεῤῥύησαν φύλλα 8, καὶ τοῦ τέλους, ἐξ οὗ ὀλίγα τινὰ τὰ ἐκρυέντα. Περιέχει δέ: Λόγους Γρηγορίου τοῦ Θεολόγου. Καὶ ἐν μὲν τοῖς ἐξεῤῥυηκόσι φύλλοις περιελαμβάνετο ὁ Α' Λόγος, ἄδηλον πῶς ἐπιγεγραμμένος, καὶ αἱ ιγ' πρῶται παράγραφοι τοῦ Εἰς τὸ Πάσχα Λόγου. — Εἰς τὴν Νέαν κυριακὴν — Εἰς τὴν ἁγίαν Πεντηκοστήν. — Εἰς τοὺς Μακκαβαίους. — Εἰς Κυπριανὸν μάρτυρα. — Πρὸς τὸν Πατέρα σιωπῶντα. — Εἰς τοὺς Λόγους καὶ εἰς τὸν Ἐξισωτὴν Ἰουλιανόν. — Εἰς τὴν Χριστοῦ Γέννησιν. — Εἰς τὸν μέγαν Βασίλειον Ἐπιτάφιος. — Εἰς τὰ ἅγια Φῶτα Λόγος Α'. — Εἰς τὸ Βάπτισμα Β'. — Εἰς Γρηγόριον τὸν ἀδελφὸν Βασιλείου. — Εἰς τὸν ἅγιον Ἀθανάσιον ἐπίσκοπον Ἀλεξανδρείας. — Εἰς τὴν τῶν ΡΝ' παρουσίαν. — Περὶ φιλοπτωχίας. — Ἀπολογητικὸς τῆς εἰς Πόντον φυγῆς ἕνεκεν κτλ. καὶ τελευταῖον: Βίος τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Θεολόγου συγγραφεὶς παρὰ Γρηγορίου πρεσβυτέρου.

405.

Τεῦχος περγαμηνὸν μήκ. 0,24, πλ. 0,18, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 147 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει: Ἰωάννου τοῦ Σχολαστικοῦ τὴν Λογικὴν Κλίμακα τῆς θείας ἀνόδου.

406.

Τεῦχος περγαμηνὸν μήκ. 0,25, πλ. 0,19, κατὰ τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 67 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: Τοῦ μεγάλου Βασιλείου τὰς Θ' Ὁμιλίας εἰς τὴν Ἑξαήμερον, ἐξ ὧν ἡ Α' καὶ ἡ τελευταία εἰσὶν ἐλλιπεῖς· ἀλλὰ καὶ ἐν τῷ μεταξὺ ὑπάρχουσιν ἐλλείψεις τινές.

407.

Τεῦχος ἐκ χάρτου παχέος μήκ. 0,35, πλ. 0,25, κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 284 συγκείμενον, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει: Νικήτα τοῦ Σερρῶν Ἑρμηνείαν εἰς τοὺς ἑξῆς Λόγους Γρηγορίου τοῦ Ναζιανζηνοῦ: Εἰς τὸ ἅγιον Πάσχα.—Εἰς τὴν Καινὴν κυριακὴν, κτλ.—Εἰς τὴν Πεντηκοστήν.—Εἰς τοὺς Μακκαβαίους.—Εἰς τὸν ἅγιον Κυπριανόν.—Εἰς τὸν Ἐξισωτὴν Ἰουλιανόν.—Εἰς τὰ ἅγια Θεοφάνεια.—Εἰς τὸν Ἐπιτάφιον εἰς μέγαν Βασίλειον.—Εἰς τὸν περὶ φιλοπτωχίας.—Εἰς τὰ Φῶτα,—καὶ Εἰς τὸ ἅγιον Βάπτισμα.

408.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 349 συγκείμενον. Περιέχει καὶ τοῦτο τὴν αὐτὴν Ἑρμηνείαν τοῦ Σερρῶν Νικήτα εἰς τοὺς ἀνωτέρω σημειωθέντας ΙΑ' Λόγους Γρηγορίου τοῦ Θεολόγου, καὶ ἐπιπλέον εἰς τοὺς ἑξῆς: Εἰς τὴν Ἀνάστασιν τοῦ Χριστοῦ.—Εἰς Γρηγόριον τὸν Νύσσης.—Εἰς τὴν παρουσίαν τῶν ΡΝ' ἐπισκόπων.—Εἰς τὸν Πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης,—καὶ Εἰς Ἀθανάσιον τὸν Ἀλεξανδρείας.

409.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,31, πλ. 0,21, κατὰ τοὺς καθ' ἡμᾶς χρόνους γεγραμμένον, ἐκ φύλλων δὲ 239 συγκείμενον. Ἐπιγέγραπται: Φωτίου πατριάρχου Ἐπιλύσεις διαφόρων κεφαλαίων πρὸς Ἀμφιλόχιον μητροπολίτην Κυζίκου. Κατὰ τὸ χειρόγραφον δὲ τοῦτο προῆλθεν εἰς φῶς ἡ ὑπὸ τοῦ ἀειμνήστου Σοφοκλέους Κ. Οἰκονόμου ἐκπονηθεῖσα ἔκδοσις Ἀθήνῃσι 1858.

410.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,30, πλ. 0,22, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 91 συγκείμενον, ἀλλ' ἄνευ ἀρχῆς καὶ τέλους. Περιέχει: Ἐξήγησιν κατ' ἐρωταπόκρισιν εἰς τὰ κατὰ τὰς κυριακὰς τοῦ ἐνιαυτοῦ ἀναγινωσκόμενα Εὐαγγέλια, ἐν φράσει κοινῇ.

411.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 551 συγκείμενον. Ἐν αὐτῷ περιέ-

χονται τὰ ἑξῆς: α') Τοῦ φιλοσόφου κυροῦ Θεοδώρου τοῦ Προδρόμου: Ἐξήγησις εἰς τοὺς ἐν ταῖς θείαις καὶ δεσποτικαῖς ἑορταῖς μελουργηθέντας Κανόνας παρὰ τῶν ἁγίων καὶ σοφῶν μελῳδῶν Κοσμᾶ καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ.—β') Ποίημα κυροῦ Ἀκακίου μοναχοῦ καὶ Σαββαΐτου τοῦδε φέρον ἑρμηνείαν τοῦ μεγάλου καὶ ἱεροῦ Κανόνος τοῦ ἐν ἁγίοις καὶ θεοφόρου Πατρὸς ἡμῶν Ἀνδρέου τοῦ Ἱεροσολυμίτου. (Ἡ ἑρμηνεία κατελείφθη ἀτελής· φθάνει γὰρ αὕτη μέχρι τοῦ ἐνεακαιδεκάτου τροπαρίου τῆς β' ᾠδῆς, ἐφ' ᾧ καὶ ἔμειναν ἄγραφα 44 φύλλα).—γ') Βιβλίον κατὰ Μωάμεθ καὶ κατὰ Λατίνων συντεθὲν (ὡς βεβαιοῦσιν οἱ εἰδότες) παρὰ τοῦ σοφωτάτου διδασκάλου Ἀναστασίου Γορδίου τοῦ ἐξ Ἀγράφων κτλ.—δ') Τοῦ μακαριωτάτου Θεοδωρήτου ἐπισκόπου Κύρου: Προθεωρία εἰς τὴν προφητείαν Μιχαίου τοῦ θείου προφήτου· καὶ ε') Εὐγενίου τοῦ Βουλγάρεως: Ἐπιστολὴ τῷ εὐγενεστάτῳ καὶ λογιωτάτῳ κυρίῳ Ἰωάννῃ Τζανέτῃ περὶ τοῦ συγγράμματος Ὠκέλλου τοῦ Λευκανοῦ περὶ τῆς τοῦ παντὸς φύσεως. Ἐν Πετρουπόλει αψϞα'.

412.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,16, κατ' ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 247 συγκείμενον. Περιέχει καὶ τοῦτο τοῦ αὐτοῦ Θεοδώρου τοῦ Προδρόμου τὴν Ἐξήγησιν τῶν ἰδίων Κανόνων, ὡς ἀνωτέρω.

413.

Τεῦχος περγαμηνὸν μήκ. 0,36, πλ. 0,27, κατὰ τὴν Ι' ἑκατονταετηρίδα καλλιγραφικῶς μέν, ἀλλ' οὐχὶ καὶ ὀρθῶς γεγραμμένον, ἐκ φύλλων δὲ 379 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἑνὸς μὲν φύλλου ἐκ τῆς ἀρχῆς, ἱκανῶν δὲ ἐκ τοῦ τέλους, ἔνθα καὶ λελώβηνται φύλλα πέντε. Περιέχονται ἐν αὐτῷ: α') Τοῦ μεγάλου Βασιλείου οἱ Β' Περὶ νηστείας Λόγοι, κατ' ἀντίστροφον τῶν ἐν ταῖς ἐκδόσεσι τάξιν.—β') Τοῦ αὐτοῦ: Περὶ φθόνου.—γ') Ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός.—δ') Κατὰ πλουτούντων Λόγοι Β'.—ε') Κατὰ μεθυόντων.—ϛ') Περὶ εὐχαριστίας.—ζ') Εἰς τὴν μάρτυρα Ἰουλίτταν.—η') Εἰς τοὺς ἁγίους Τεσσαράκοντα μάρτυρας.—θ') Εἰς τὴν Χριστοῦ Γένναν.—ι') Ὁμιλία προτρεπτικὴ εἰς τὸ Βάπτισμα.—ια') Εἰς τό: «Ἐν ἀρχῇ ἦν ὁ Λόγος». —ιβ') Πρὸς τοὺς συκοφαντοῦντας αὐτὸν ὡς τρεῖς θεοὺς λέγοντα. —ιγ') Κατὰ ὀργιζομένων.—ιδ') Ὁμιλία ῥηθεῖσα ἐν Λακίζοις.—ιε') Παραίνεσις τοῖς νέοις.—ιϛ') Ὁμιλία ἐν λιμῷ καὶ αὐχμῷ.—ιζ') Περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς.—ιη') Κατὰ Σαβελλιανῶν, Ἀρειανῶν καὶ Ἀνομοίων.—ιθ') Εἰς τὸν ἅγιον μάρτυρα Γόρδιον.—κ') Ἐγκώμιον εἰς τὸν ἅγιον Βαρλαάμ.—κα') Ἐγκώμιον εἰς τὸν ἅγιον Μάμαντα.—κβ') Ὁμιλία εἰς τὴν ἀρχὴν τοῦ Α' Ψαλμοῦ.—κγ') Ὁμιλία εἰς τὸν Ζ' Ψαλμόν.—κδ') Εἰς τὸν ΙΔ' Ψαλμόν.—κε') Κατὰ τοκιζόντων.—κϛ') Εἰς τὸν ΚΗ' Ψαλμόν.—κζ') Εἰς τὸν ΚΘ' Ψαλμόν.—κη') Εἰς τὸν ΛΒ' Ψαλμόν.—καὶ κθ') Εἰς τὸν ΛΓ' Ψαλμόν.

414.

Τεῦχος περγαμηνὸν μήκ. 0,?6, πλ. 0,27, κατὰ τὴν Ι' ἑκατονταετη-

ρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 322 συγκείμενον, ὧν τὰ 3 πρῶτά εἰσι λελωβημένα, ἐλλιπὲς δὲ ἑνὸς φύλλου ἐν τῷ τέλει. Περιέχονται ἐν αὐτῷ Ἰωάννου τοῦ Χρυσοστόμου οἱ Ϛ' Περὶ ἱερωσύνης Λόγοι.—Περὶ Ἀκαταλήπτου Λόγοι Θ'.—Κατὰ Ἰουδαίων Λόγοι Ϛ'.—Ἔπαινος τῶν ἀπαντησάντων καὶ περὶ εὐταξίας τῆς ἐν ταῖς Δοξολογίαις.—Εἰς τὸ προφητικὸν Ἡσαΐου τὸ λέγον: «Καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. κτλ».— Εἰς τὸ αὐτὸ ῥητόν.—Εἰς τὴν Β' τῶν Παραλειπομένων τὴν λέγουσαν: «Ὑψώθη ἡ καρδία Ὀζίου κτλ.»—Εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου: «Εἶδον τὸν Κύριον κτλ.»—Ὁμιλία εἰς τὰ Σεραφείμ.—Μετὰ τὰς καλάνδας τῇ ἑξῆς, Κατὰ μεθυόντων κτλ. — Εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον Λόγοι Β'·—, καὶ Ὁμιλία εἰς [τοὺς εἰς] τὰς ἱπποδρομίας ἀναβαίνοντας, κτλ.

413.

Τεῦχος περγαμηνὸν μήκ. 0,30, πλ. 0,25, περὶ τελευτῶσαν τὴν Ι' ἢ ἀρχομένην τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 302 συγκείμενον, ὧν τὰ ἀπὸ φύλ. 254—259 καὶ τὰ τελευταῖα 10, ἐπὶ χάρτου γεγραμμένα κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα, νεωτέρα εἰσὶ προσθήκη. Τῶν δὲ πρώτων 10 φύλλων ἡ ᾤα τυγχάνει λελωβημένη. Περιέχονται ἐν αὐτῷ: Τοῦ μεγάλου Βασιλείου: Ὁμιλίαι Θ' εἰς τὴν Ἑξαήμερον (λείπει τὸ τέλος τῆς Η' καὶ ἡ ἀρχὴ τῆς Θ')—.Τοῦ αὐτοῦ: Περὶ τῆς τοῦ ἀνθρώπου γενέσεως ἐν σχεδαρίῳ εὑρεθείς.—Τῷ ἀδελφῷ δούλῳ Θεοῦ Πέτρῳ ἐπισκόπῳ Γρηγόριος ἐπίσκοπος Νύσσης.—Ἰωάννου τοῦ Χρυσοστόμου: Ὁμιλία λεχθεῖσα ἐν Ἀντιοχείᾳ πρεσβυτέρου αὐτοῦ ὑπάρχοντος, κτλ.—Τοῦ αὐτοῦ: Ὁμιλία λεχθεῖσα ἐν Ἀντιοχείᾳ ἐν τῇ παλαιᾷ λεγομένῃ Ἐκκλησίᾳ, κτλ. Εἰς τὴν ἀποδημίαν, ἣν ἐποιήσατο ὁ ἐπίσκοπος Ἀντιοχείας Φλαβιανὸς ὑπὲρ τῆς πόλεως πρεσβευόμενος πρὸς τὸν βασιλέα Θεοδόσιον, κτλ.—Παράκλησις πρὸς τὸν λαὸν περὶ καρτερίας καὶ ὑπομονῆς, κτλ.—Παράκλησις πρὸς τὸν λαὸν περὶ τοῦ φέρειν γενναίως τὴν ἐπικειμένην ἀπειλήν, κτλ.—Ὅτι χρήσιμος ὁ τῶν ἀρχόντων φόβος, καὶ διήγησις τῶν κατὰ τὴν ὁδὸν συμβάντων τοῖς τὴν ἀγγελίαν τῆς στάσεως τῷ βασιλεῖ ἀναφέρουσιν.—Ὑπόμνησις τῶν ἤδη αὐτῇ προλεχθέντων, ὅτι θάνατον καὶ λύπην ἡ ἁμαρτία μόνη εἰς τὸν βίον εἰσενεγκοῦσα, κτλ.—Ἔπαινος τῶν κατωρθωκότων τοῦ μὴ ὀμνύειν.—Εἰς τό: «Περιεπάτει ὁ Θεὸς εἰς τὸ δειλινὸν ἐν τῷ Παραδείσῳ».—Ἔπαινος τῶν μετὰ τὴν ἑστίασιν ἀπηντηκότων εἰς τὴν ἀκρόασιν.—Εὐχαριστία πρὸς Θεὸν περὶ τῆς ἀπαλλαγῆς τῶν ἐκ τῆς στάσεως προσδοκηθέντων κακῶν.—Εὐχαριστία πρὸς τὸν Θεὸν περὶ τῆς συγχωρήσεως τῶν εἰς τὸν βασιλέα, κτλ.—Εὐχαριστία πρὸς Θεὸν περὶ τῆς μεταβολῆς τῶν σκυθρωπῶν.—Τοῦ δήμου παντὸς ἀφεθέντος τῆς ἀγωνίας καὶ θαρρήσαντος τινὲς τὴν πόλιν πάλιν ἐτάραξαν, κτλ.—Ἔτι εἰς τὴν συμφορὰν τῆς πόλεως Ἀντιοχείας.—Φημισθείσης εἰς τὸν ἄρχοντα Πρέδας καὶ πάντων βουλευομένων περὶ φυγῆς, τοῦ κόμητος εἰσελθόντος εἰς τὴν Ἐκκλησίαν καὶ παρακαλέσαντος

ταῦτα ἐλέχθη.—Εἰς τοὺς ἄρχοντας τοὺς παρὰ τοῦ βασιλέως Θεοδοσίου σταλέντας, κτλ.—Εἰς τὴν προειρημένην ὑπόθεσιν τῆς νηστείας, κτλ.—Τῇ κυριακῇ τῆς Ἐπισωζομένης πρὸς τοὺς ἀπὸ τῆς χώρας, καὶ περὶ τοῦ μὴ ὀμνύειν.—Εἰς τὴν διαταγὴν τοῦ βασιλέως πρὸς τὴν πόλιν.—καὶ Κατήχησις πρὸς τοὺς μέλλοντας φωτίζεσθαι, κτλ.

416.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,28, πλ. 0,20, περὶ τελευτῶσαν τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 10 συγκείμενον. Περιέχει: Σωφρονίου ἀρχιεπισκόπου Ἱεροσολύμων Εἰς τὸν Βίον τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, τῆς ἐξ ἑταιρίδων ὁσίως βιωσάσης κατὰ τὴν ἔρημον.

417.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων 164 συγκείμενον, ἐλλιπέστατον δὲ ἐν τῇ ἀρχῇ μὲν φύλλων 46, ἄδηλον δὲ πόσων ἐκ τοῦ τέλους. Τὰ ἐν αὐτῷ περιεχόμενά εἰσι : α') Ἑρμηνεία εἴς τινα Εὐαγγέλια.—β') Ἐφραὶμ τοῦ Σύρου Λόγοι Δ'.—γ') Ἐκ τοῦ Λόγου τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νύμφωνος (οὕτω) Λόγος ὠφέλιμος.—δ') Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου (ψευδεπίγραφος).—ε') Ἀνωνύμου Λόγος εἰς τὸ ἅγιον Βάπτισμα.—ϛ') Ἑρμηνεία τοῦ ἱεροῦ Συμβόλου τῆς πίστεως, καὶ—ζ') Ἐπιφανίου ἀρχιεπισκόπου Κύπρου Λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου.

418.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 64 συγκείμενον, ἐλλιπέστατον ὅμως ἔν τε τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: Νικήτα Σερρῶν Ἑρμηνείαν εἴς τινας τῶν Λόγων Γρηγορίου τοῦ Θεολόγου.

419.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 248 συγκείμενον. Ἐπιγέγραπται: Νικήτου τοῦ καὶ Δαβὶδ δούλου Ἰησοῦ Χριστοῦ τοῦ φιλοσόφου Ἑρμηνεία τῶν Τετραστίχων τοῦ μεγάλου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου, ἄτερ τῆς ἑρμηνείας τῆς α', θ' καὶ ι' Γνωμολογίας, ἣ ἔνι τοῦ Ζωναρᾶ.

420.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλ. 0,16, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον καὶ ἐκ φύλλων 162 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει Γρηγορίου τοῦ Θεολόγου: Ἔπη εἰς Λόγους ΞΑ', ἀρχομένους ἀπὸ τῶν λειπομένων τοῦ Β' Λόγου. Ἔχει δὲ ἐκ παραλλήλου καὶ τὴν μετάφρασιν αὐτῶν.

421.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλ. 0,17, κατ' ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον καὶ ἐκ φύλλων 80 συγκείμενον, ἀλλ' ἐλλιπές. Περιέχει : Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου Ἑρμηνείαν ἐν τοῖς τῆς Θεοτόκου Ἀναβαθμοῖς.

422.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλάτ. 0,22, κατὰ τὸ ,ςοε' (+ 1546) ἔτος γεγραμμένον, ὡς ἐν τῷ 328 φύλλῳ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 404, ἀλλ' ἄνευ ἀρχῆς καὶ τέλους. Ἐν αὐτῷ περιέχονται τὰ ἑξῆς: α') Ἱστορία τῆς εἰς τὸν ναὸν εἰσόδου τῆς Θεοτόκου, ὡς συγγραφὴ δῆθεν τοῦ Ἰακώβου, καθὰ σημειοῦται ἐν τῷ τέλει. — β') Ἀνωνύμου: Εἰς τὴν ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. — γ') Γερμανοῦ πατριάρχου Κωνσταντινουπόλεως: Ἐγκώμιον εἰς τὴν ὑπεραγίαν Θεοτόκον ὅτε προςηνέχθη ἐν τῷ ναῷ. — δ') Ἐφραὶμ τοῦ Σύρου: Λόγος τῇ Κυριακῇ τῶν ἁγίων προπατόρων. — ε') Γρηγορίου τοῦ Θεολόγου: Λόγος εἰς τὴν γέννησιν τοῦ Σωτῆρος. — ς') Ἀνδρέου Κρήτης: Λόγος εἰς τὴν περιτομὴν τοῦ Κυρίου. — ζ') Τοῦ αὐτοῦ: Λόγος εἰς τὰ ἅγια φῶτα. — η') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος εἰς τὰ ἅγια φῶτα. — θ') Ἀμφιλοχίου Ἰκονίου: Λόγος εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου. — ι') Κυρίλλου Ἱεροσολύμων: Λόγος εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου. — ια') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου. — ιβ') Λεοντίου ἐπισκόπου Νεαπόλεως: Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου. — ιγ') Εὐσεβίου Ἀλεξανδρείας: Λόγος εἰς τὴν δευτέραν παρουσίαν. — ιδ') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος περὶ τῆς τοῦ πρωτοπλάστου Ἀδὰμ ἐξορίας. — ιε') Διήγησις πάνυ ὠφέλιμος περὶ τῆς λογχευθείσης εἰκόνος τοῦ Κυρίου ἐν Βηρυττῷ. — ις') Ἐφραὶμ τοῦ Σύρου: Λόγος περὶ κατανύξεως ψυχῆς. — ιζ') Ἰωσὴφ Θεσσαλονίκης: Λόγος εἰς τὸν τίμιον σταυρὸν τῇ Γ' κυριακῇ τῶν νηστειῶν. — ιη') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος περὶ ἐλεημοσύνης. — ιθ') Σωφρονίου Ἱεροσολύμων: Βίος καὶ πολιτεία τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας. — κ') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος εἰς τὸν πλούσιον καὶ τὸν πτωχὸν Λάζαρον. — κα') Ἐπιφανίου Κύπρου: Λόγος εἰς τὰ Βαΐα. — κβ') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος εἰς τὰς δέκα παρθένους. — κγ') Τοῦ αὐτοῦ: Λόγος εἰς τὸν δίκαιον Ἰώβ. — κδ') Τοῦ αὐτοῦ: Λόγος εἰς τὴν πόρνην καὶ εἰς τὸ μῦρον. — κε') Τοῦ αὐτοῦ: Λόγος τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ. — κς') Ἐπιφανίου Κύπρου: Λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου — κζ') Γρηγορίου τοῦ Θεολόγου: Εἰς τὸ ἅγιον Πάσχα καὶ εἰς τὴν βραδυτῆτα. — κη') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος εἰς τὴν Μεσοπεντηκοστήν. — κθ') Τοῦ αὐτοῦ: Λόγος εἰς τὴν Πεντηκοστήν. — λ') Τοῦ αὐτοῦ: Ὁμιλία εἰς τοὺς ἁγίους ἀθλοφόρους τοὺς ἐν ὅλῳ τῷ κόσμῳ μαρτυρήσαντας. — λα') Τοῦ αὐτοῦ: Λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου. — λβ') Ἰωάννου τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου: Λόγος εἰς τὴν κοίμησιν τῆς Θεοτόκου (ψευδεπίγραφος). — λγ') Βίος καὶ Πολιτεία τοῦ ὁσίου Συμεὼν τοῦ Στυλίτου. — λδ') Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα. — λε') Περίοδοι τοῦ ἁγίου ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, τοῦ καὶ ἀναπεσόντος ἐπὶ τῷ στήθει τοῦ Κυρίου Ἰησοῦ. — λς') Ἐγκώμιον εἰς τὸν ἅγιον ἀπόστολον καὶ Εὐαγγελιστὴν Λουκᾶν. — λζ') Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου. — λη') Πράξεις τῶν ἁγίων καὶ θαυ-

ματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. — λθ') Διήγησις εἰς τὸν θρῆνον τοῦ προφήτου Ἱερεμίου περὶ τῆς Ἱερουσαλὴμ καὶ εἰς τὴν ἀνάλυσιν ταύτης καὶ περὶ τῆς ἐκστάσεως Ἀβιμέλεχ. — μ') Παντολέοντος διακόνου: Ἐγκώμιον εἰς τὸν θεῖον ἀρχιστράτηγον Μιχαήλ. — μα') Βίος καὶ Πολιτεία τοῦ ἁγίου Νικολάου. — μβ') Κυρίλλου Ἀλεξανδρείας: Λόγος εἰς τοὺς ἁγίους Τρεῖς παῖδας καὶ Δανιὴλ τὸν προφήτην. — μγ') Βίος καὶ Πολιτεία τοῦ ὁσίου Ἰωάννου τοῦ Καλυβίτου. — μδ') Κοσμᾶ Βεστήτορος: Λόγος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου Ἰωάννου τοῦ Χρυσοστόμου. — με') Εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. — μϛ') Μαρτύριον τῶν ἁγίων Τεσσαράκοντα μαρτύρων. — μζ') Βίος καὶ Πολιτεία τοῦ ὁσίου Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ. — μη') Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου. — μθ') Ἰωάννου τοῦ Χρυσοστόμου: Ὑπόμνημα εἰς τὸ γενέσιον τοῦ Προδρόμου. — ν') Μαρτύριον τῶν ἁγίων πρωτοκορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. — να') Μαρτύριον τῆς ἁγίας μεγαλομάρτυρος Κυριακῆς. — νβ') Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου. — νγ') Μαρτύριον τῆς ἁγίας ὁσιομάρτυρος Παρασκευῆς. — νδ') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου. — νε') Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον Περὶ τῆς Ἀρτέμιδος. — νϛ') Ἐξορία τοῦ ἁγίου ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου. — νζ') Τὰ περὶ Μύρωνος καὶ τῶν γινομένων δι' αὐτοῦ εἰς πάντα τὸν οἶκον αὐτοῦ. — νη') Τὰ περὶ Βασιλείου καὶ τῆς γυναικὸς αὐτοῦ καὶ πῶς ἐπίστευσαν τῷ Χριστῷ διδασκόμενοι ὑπὸ τοῦ Ἰωάννου. — νθ') Τὰ περὶ Χρύσου καὶ τοῦ υἱοῦ αὐτοῦ καὶ τῆς γυναικός. — ξ') Τὰ περὶ Κύνωπος καὶ πάσης τῆς μαγικῆς κακοτεχνίας αὐτοῦ κτλ. — ξα') Περὶ Λύκου τοῦ φαινομένου τοῖς κατοικοῦσι τὴν πόλιν ὡς λύκος κτλ. — ξβ') Περὶ Σωσιπάτρου καὶ τῆς μητρὸς αὐτοῦ Προκλιανῆς. — ξγ') Τὰ περὶ Νοτιανοῦ καὶ παντὸς τοῦ οἴκου αὐτοῦ. — ξδ') Τὰ περὶ Εὐαγγελίου τοῦ κατὰ Ἰωάννην πῶς ἐξηγήσατο αὐτοῖς Ἰωάννης καὶ διατί καὶ ἐν ποίῳ τόπῳ. — ξε') Περὶ τῆς Ἀποκαλύψεως. — ξϛ') Βίος καὶ Πολιτεία τοῦ ἁγίου Νικολάου. — ξζ') Βίος καὶ Πολιτεία τοῦ ἁγίου Βασιλείου ἀρχιεπισκόπου Καισαρίας Καππαδοκίας τοῦ μεγάλου, — καὶ ξη') Διήγησις πάνυ ὠφέλιμος περὶ τοῦ ματαίου βίου τούτου.

423.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,27, πλάτ. 0,20, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 301 συγκείμενον, σητόβρωτα τὰ μετώπια ἔχον, ἐλλιπὲς δὲ καὶ τοῦ τέλους. Περιέχονται ἐν αὐτῷ: α') Μακαρίου τοῦ Αἰγυπτίου: Λόγοι ΞΓ'. — β') Ἱερωνύμου ἀσκητοῦ: Διήγησις περὶ τοῦ βίου τοῦ ὁσίου Ἰωάννου τοῦ ἐν Θηβαΐδι ἀσκήσαντος. — γ') Τοῦ αὐτοῦ: Περὶ κοινωνίας. — δ') Βίος καὶ Πολιτεία τοῦ ὁσίου Μάρκου τοῦ ἀπὸ Ἀθηνῶν τοῦ ἀσκήσαντος ἐν τῷ ὄρει τῆς Θράκης τῆς οὔσης ἐπέκεινα τῶν ἐνδοτάτων μερῶν τῆς εἰσόδου Αἰθιοπίας, ἐπέκεινα τοῦ ἔθνους τῶν Χετταίων. — ε') Τοῦ ὁσίου Κασσιανοῦ: Πρὸς Λεόντιον ἐπίσκοπον. — ϛ') Τοῦ ὁσίου Νι-

λου: ἐκ τοῦ Περὶ ἀκτημοσύνης λόγου.—ζ') Προφητεῖαι τῶν ὁσίων πατέρων περὶ τῆς ἡμετέρας ἐσχάτης γενεᾶς τῆς τε ἀμελείας καὶ ἀπωλείας,—καὶ η') Τοῦ ἁγίου Συμεὼν τοῦ νέου Θεολόγου: Περὶ ἀρχῆς βίου λίαν ἐπωφελοῦς καὶ σωτηρίου κτλ.

424. [122].

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλάτ. 0,15, κατὰ τὸ 1828 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 24. Περιέχει: τὰς Προφητείας Ἱερωνύμου τοῦ Ἀγαθαγγέλου, ἐνδὲ τῷ τέλει δύο Μεγαλυνάρια τοῦ Προδρόμου καὶ Θεοτοκίον διὰ στίχων πολιτικῶν εἰς ἦχον πλ. δ'.

425. [123].

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλάτ. 0,23. κατὰ τὴν ΙϚ' ἑκατονταετηρίδα γεγραμμένον, καὶ κατ' ἀπομίμησιν γραφῆς ἀρχαιοτέρας, ἐκ φύλλων δὲ συγκείμενον 495, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχονται ἐν αὐτῷ ταῦτα: α') Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου: Εἰς τὸν βίον καὶ τὰ συγγράμματα τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου.—β') [Συμεὼν τοῦ Μεταφραστοῦ]: Βίος τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σιλβέστρου πάπα Ρώμης.—γ') [Τοῦ αὐτοῦ]: Βίος καὶ Πολιτεία Παύλου τοῦ Θηβαίου.—δ') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγος εἰς τό, «Ὁ κύριος ἐβασίλευσε» καὶ εἰς τό, «Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί», καὶ «Εἰς τὸ μυστήριον τοῦ βαπτίσματος».—ε') Λόγος εἰς τὴν ἐξ Ἀντιοχείας ἀνακομιδὴν τῆς σεβασμίας καὶ τιμίας χειρὸς τοῦ ἁγίου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.—Ϛ') Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πολυεύκτου.—ζ') Βίος καὶ Πολιτεία τοῦ ὁσίου Μαρκιανοῦ.—η') [Συμεὼν τοῦ Μεταφραστοῦ]: Βίος καὶ Πολιτεία τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τοῦ κοινοβιάρχου.—θ') [Τοῦ αὐτοῦ]: Μαρτύριον Ἑρμύλου καὶ Στρατονίκου.—ι') Νείλου μοναχοῦ: Εἰς τὴν ἀναίρεσιν τῶν ἐν Σινᾷ καὶ Ραϊθοῦ πατέρων.—ια') Βίος καὶ Πολιτεία τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου.—ιβ') Λόγος εἰς τὴν προσκύνησιν τῆς τιμίας ἁλύσεως τοῦ ἀποστόλου Πέτρου.—ιγ') Βίος καὶ Πολιτεία τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἀθανασίου Ἀλεξανδρείας.—ιδ') [Συμεὼν τοῦ μεταφραστοῦ]: Βίος καὶ Πολιτεία τοῦ ὁσίου Πατρὸς ἡμῶν Εὐθυμίου.—ιε') [Τοῦ αὐτοῦ]: Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον τοῦ Χριστοῦ Τιμόθεον.—ιϚ') [Τοῦ αὐτοῦ]: Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Ἀναστασίου.—ιζ') [Τοῦ αὐτοῦ]: Ἄθλησις τοῦ ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας.—ιη') [Τοῦ αὐτοῦ]: Βίος καὶ Πολιτεία Εὐσεβείας τῆς ξένης,—καὶ ιθ') Γρηγορίου πρεσβυτέρου: Βίος καὶ Πολιτεία τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου.

426. [124].

Τεῦχος περγαμηνὸν μήκ. 0,25, πλ. 0,18, περὶ ἀρχομένην τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 235. Ἔστι δ' ὁ καλούμενος Πανδέκτης περιέχων τοὺς Λόγους Ἀντιόχου μοναχοῦ τοῦ ἐκ τῆς τοῦ ἁγίου Σάββα λαύρας.

427. [125].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,23, πλάτ. 0,15, περὶ τελευτῶσαν τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον καὶ ἐκ φύλλων 175 συγκείμενον, ἐλλιπὲς δὲ τῆς ἀρχῆς καὶ τοῦ τέλους. Καὶ ἐκ τοῦ μέσου δὲ οὐκ ὀλίγα ἐξερρύησαν φύλλα. Ἔστι δὲ καὶ τοῦτο ὁ τοῦ Ἀντιόχου μοναχοῦ Πανδέκτης.

428. [126].

Τεῦχος ἐκ λευκοτάτης περγαμηνῆς μήκ. 0,29, πλάτ. 0,21, περὶ τὴν Ι' ἴσως τελευτῶσαν ἢ τὴν ΙΑ' ἀρχομένην ἑκατονταετηρίδα ἐπιμελέστατα κεκαλλιγραφημένον, ἐκ φύλλων δὲ συγκείμενον 186. Πολλὰ εἰσι τὰ ἐκ τοῦ μέσου καὶ τοῦ τέλους τοῦ καλλίστου τούτου τεύχους ἐξεῤῥυηκότα φύλλα. Περιέχονται ἐν αὐτῷ οἱ ἑξῆς Λόγοι τοῦ ἁγίου Πατρὸς Ἀθανασίου τοῦ μεγάλου: α') Κατὰ Ἀρειανῶν Λόγος Α'.—β') Κατὰ τῶν αὐτῶν Λόγος Β'.—γ') Κατὰ τῶν αὐτῶν Λόγος Γ'.—δ') Κατὰ τῶν αὐτῶν Λόγος Δ'.—ε') Περὶ πίστεως καὶ κατὰ τῆς τῶν εἰδώλων εὑρέσεως.—ς') Περὶ ἐνανθρωπήσεως τοῦ Λόγου (ἄνευ ἀρχῆς καὶ τέλους). Κατὰ τὸν ἐν τῷ τεύχει τούτῳ προτεταγμένον πίνακα περιείχοντο ἐν τοῖς ἐκλελειπόσι φύλλοις καὶ τὰ ἑξῆς τοῦ αὐτοῦ ἁγίου Πατρός: «Ζ') Ἐπιστολὴ τοῖς ἁπανταχοῦ ὀρθοδόξοις ὅτε ὁ παρὰ τῶν Ἀρειανῶν διωγμὸς ἐγένετο.—Η') Καθολικὴ Ἐπιστολή.—Θ') Κατὰ Ἀρειανῶν Λόγος σύντομος.—Ι') Ἔλεγχος ὑποκρίσεως τῶν περὶ Μελίτιον καὶ Εὐσέβιον τὸν Σαμοσατέα κτλ.—ΙΑ') Ἐπιστολὴ πρὸς Σεραπίωνα ἐπίσκοπον περὶ τοῦ ἁγίου πνεύματος.—ΙΒ') Ταῦτα ἐκ τῶν προειρημένων κατ' ἐπιτομὴν ἐγράφη κατ' αὐτῶν πάλιν τῶν λεγόντων κτίσμα εἶναι τὸ πνεῦμα τὸ ἅγιον.—ΙΓ') Ἐπιστολὴ πρὸς τὸν αὐτὸν Σεραπίωνα.—ΙΔ') Πρὸς τὸν αὐτὸν Ἐπιστολὴ περὶ τοῦ ἁγίου πνεύματος.—ΙΕ') Κατὰ Ἀρειανῶν Λόγος.—ΙϚ') Μαρτυρίαι ἐκ τῆς Γραφῆς περὶ τῆς κατὰ φύσιν κοινωνίας· εἰς τοὺς ὁμοίως εἶναι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα πρὸς θεωρίαν δυςέφικτον καὶ μίαν ἔχειν ἐνέργειαν.—ΙΖ') Τοῦ μακαρίου Μάρκου τοῦ Διαδόχου κατ' Ἀρειανῶν Λόγος».

429. [127].

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 69, ἐλλιπὲς ὅμως τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχονται ἐν αὐτῷ Ἀθανασίου τοῦ μεγάλου: α') Περὶ τῶν ἐν ταῖς θείαις Γραφαῖς ἀπορουμένων κλπ. πρὸς Ἀντίοχον ἄρχοντα.—β') Ῥήσεις καὶ ἑρμηνεῖαι παραβολῶν τοῦ ἁγίου Εὐαγγελίου,—καὶ γ') Ἕτεραι ἐρωτήσεις τινές.

430. [128].

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 155. Περιέχονται ἐν αὐτῷ ταῦτα: α') Ἀθανασίου τοῦ μεγάλου: Περὶ τῶν ἐν ταῖς θείαις Γραφαῖς ἀπορουμένων κλπ. πρὸς Ἀντίοχον ἄρχοντα.—β') Τοῦ αὐτοῦ: Ῥήσεις καὶ ἑρμηνεῖαι παραβολῶν τοῦ ἁγίου Εὐαγγελίου.—γ') Τοῦ αὐτοῦ: Ἕτεραί τινες ἐρωτήσεις,—καὶ δ') Ἰωάννου τοῦ

Χρυσοστόμου: Εἰς τὴν ἐπιγραφὴν τοῦ Ν' Ψαλμοῦ καὶ Περὶ μετανοίας.

431. [129].

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,16, κατὰ τὸ 1805 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 197. Περιέχονται ἐν αὐτῷ: α') Ἰγνατίου τοῦ εὐλαβεστάτου σκευοφύλακος τῆς Μ. Ἐκκλησίας: Παραίνεσις τοῖς νέοις κατὰ στοιχεῖον.—β') Γρηγορίου τοῦ Θεολόγου: Ἰαμβικοὶ παραινετικοὶ κατὰ στοιχεῖον.—γ') Γνῶμαι μονόστιχοι κατὰ στοιχεῖον ἐκ διαφόρων ποιητῶν.—δ') Γαβρίου Ἕλληνος: Τετράστιχα.—ε') Γρηγορίου τοῦ Θεολόγου: Στίχοι κατὰ ἀλφάβητον.—ϛ') Τοῦ αὐτοῦ: Περὶ τῶν τοῦ βίου ὁδῶν.—ζ') Τοῦ αὐτοῦ: Εἰς τὸν μέγαν Βασίλειον Ἐπικήδεια.—η') Τοῦ αὐτοῦ: Γνωμικὰ δίστιχα καὶ τετράστιχα.—θ') Τοῦ ἀββᾶ Νείλου: Νουθεσίαι πάνυ ὠφελεῖς.—ι') Κοσμᾶ καὶ Ἰωάννου: Κανόνες ᾀσματικοὶ εἰς τὰς δεσποτικὰς ἑορτὰς καὶ τῆς μεγάλης ἑβδομάδος,—καὶ ια') Λεξιλόγιον. Πάντων οὖν τούτων τὰ μέν εἰσι ψυχαγωγικῶς ἡρμηνευμένα, τὰ δὲ ἔχουσι τὴν ἑρμηνείαν ὑπ' αὐτὸ τὸ κείμενον ἑκάστου Τροπαρίου.

1129.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,17, πλάτ. 0,11, κατ' ἀρχομένην ἴσως τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 256. Περιέχει μέρος τῆς Ξενοφῶντος Κύρου Παιδείας ψυχαγωγικῶς ἡρμηνευμένης.

1130.

Τετράδια δύο ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένα, ὧν τὸ μὲν συγκείμενον ἐκ φύλλων 20 περιέχει: Μύθους τοῦ Αἰσώπου· τὸ δὲ ἐκ φύλλων 7: Τετράστιχα ἰαμβεῖα καὶ ἡρῷα Θεοδώρου τοῦ Προδρόμου, ἀτελῆ ἀμφότερα. Εἰσὶ δὲ καὶ ταῦτα ψυχαγωγικῶς ἡρμηνευμένα.

1131.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 419, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχονται ἐν αὐτῷ Γρηγορίου τοῦ Θεολόγου: Γνωμικὰ δίστιχα.—Λουκιανοῦ: Ἐνύπνιον καὶ Νεκρικοὶ Διάλογοι.—Κοσμᾶ καὶ Ἰωάννου: Κανόνες ᾀσματικοὶ εἰς τὰς δεσποτικὰς ἑορτάς.—Ἑρμηνεία τοῦ παραινετικοῦ ποιήματος τοῦ Φωκυλίδου.—Γρηγορίου τοῦ Θεολόγου: Γνωμικὰ τετράστιχα καὶ μονόστιχα.—Ἰσοκράτους: Πρὸς Δημόνικον, Πρὸς Νικοκλέα καὶ Πανηγυρικός.—Ἐπιστολαὶ ἀπὸ τῶν ἀρχαίων ἐπιστολογράφων ἠρανισμέναι.—Βασιλείου τοῦ μεγάλου: Ἐπιστολαί.—Ἀριστοφάνους: Πλοῦτος καὶ Νεφέλαι.—Εὐριπίδου: Ἑκάβη.—Ὁμήρου: Ἰλιάδος Α (ἀτελής).—Κανόνες τοῦ μεγάλου Σαββάτου καὶ τοῦ Πάσχα.—Ὁμήρου: Ἰλιάδος Β (ἀτελής). Ἐν τούτῳ ἡ ἑρμηνεία γέγραπται πλαγίως τοῦ κειμένου, τουτέστι περὶ τὴν ᾤαν.

1132.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ 1706 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 258. Περιέχει Κοσμᾶ καὶ Ἰωάννου: Κανόνας ᾀσματικοὺς εἰς τὰς δεσποτικὰς ἑορτάς. — Γρηγορίου τοῦ Θεολόγου: Γνωμικὰ τετράστιχα.— Πλουτάρχου: Περὶ παίδων ἀγωγῆς.—Ἐξήγησιν τῶν τροπαρίων τῆς Ὀκτωήχου. Ἐν τούτῳ ἡ ἑρμηνεία κεῖται παραπλεύρως τοῦ κειμένου ἐν ἡμικλάστῳ, τὸ δὲ κείμενον γέγραπται κατ' ἀνάλυσιν συντακτικήν.

1133.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὸ 1740 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 197. Περιέχονται ἐν αὐτῷ α') Ἀγαπητοῦ Διακόνου: Κεφάλαια παραινετικά. —β') Ἰσοκράτους: Πρὸς Δημόνικον καὶ Πρὸς Νικοκλέα.—γ') Βασιλείου τοῦ μεγάλου: Νουθεσία πρὸς τοὺς νέους.—δ') Λουκιανοῦ: Πατρίδος ἐγκώμιον, Τυραννοκτόνος, Ἀποκηρυττόμενος καὶ Περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν τῇ διαβολῇ,—καὶ ε') Ἀριστοφάνους: Πλοῦτος. Ἐν τέλει δὲ περιέχεται ἱστορία θαύματός τινος ἐν Κερκύρᾳ γενομένου κατὰ τὸ 1530 ἔτος. Καὶ τοῦτο δὲ ἔχει τὴν ἑρμηνείαν ὡς τὸ προηγούμενον.

1134.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 53. Περιέχει: Βασιλείου τοῦ μεγάλου τὴν Πρὸς τοὺς νέους παραίνεσιν. Καὶ τούτου ἡ ἑρμηνεία ἐστὶν ὡς ἡ τοῦ προηγουμένου.

1135.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,13, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 223. Ἐπιγέγραπται: «Ποικίλη Χρηστομάθεια, ἐν ᾗ ἐκ τῆς ἀναγνώσεως διαφόρων συγγραφέων τά τε ἱστορικῶς εἰρημένα καὶ τὰ ἄλλως χρήσιμα ὄντα καὶ περιεργείας ἄξια συνείλεκται· πρὸς δὲ τῷ τέλει, ὅσα ἐκκλησιαστικῆς ὑποθέσεως ὄντα ἔχουσί τι σὺν τῷ χρησίμῳ περίεργον, ἐτέθη».

1136.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, περὶ ἀρχομένην ἴσως τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 174. Περιέχει Γρηγορίου τοῦ Θεολόγου: τὰ Τετράστιχα Γνωμικὰ πλατύτερον ἐξηγημένα, καὶ τὰ Κατὰ ἀλφάβητον Μονόστιχα τοῦ αὐτοῦ, ὡσαύτως πλατύτερον ἐξηγημένα.

1137.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 114, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Περιέχει α') Θωμᾶ Μαγίστρου: Ἐκλογάς.—β') Φρυνίχου: Ἐκλογὴν ῥημάτων καὶ ὀνομάτων ἀττικῶν,—καὶ γ') Ἐκ τῆς Ἑλλαδίου Βησαντι[νό]ου ἐπιγραφομένης: Πραγματείας Χρηστομαθειῶν (μετείληπται ἀπὸ τῆς Φωτίου βιβλιοθήκης κῶδ. 279).

1138.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,33, πλάτ. 0,22, κατὰ τὴν ΙΗ' ἑκα-

τονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 177. Ἐπιγέγραπται: «Ἀλεξάνδρου Μαυροκορδάτου Κωνσταντινουπολίτου μεγάλου λογοθέτου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἐξ Ἀποῤῥήτων τῆς κραταιᾶς βασιλείας τῶν Ὀθωμανῶν, Γνῶμαι· μεθ' ἃς ἕπονται τοῦ αὐτοῦ: Φροντίσματα ἐν δυσὶ βιβλίοις.

1139.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,28, πλάτ. 0,20, κατ' ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 152. Περιέχει α') Νικολάου Κούρσουλα τοῦ Ζακυνθίου: Ὑπομνήματα καὶ Ζητήματα εἰς τὸ Ἀριστοτέλους Περὶ γενέσεως καὶ φθορᾶς Α' καὶ Β' βιβλίον, —καὶ β') Τοῦ σοφωτάτου καὶ λογιωτάτου Θεοφίλου τοῦ Κορυδαλέως: Ἔκθεσιν κατ' ἐπιτομὴν τῆς λογικῆς πραγματείας.

1140.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,16, κατ' ἀρχομένην ἴσως τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 160. Ἐπιγέγραπται: «Ἐπιτομὴ τῆς Λογικῆς τοῦ Εὐγενίου φιλοπονηθεῖσα ὑπὸ τοῦ εὐγενεστάτου ἄρχοντος πρώην μεγάλου Μπάνου κυρίου Γρηγορίου Βασαράμπα Βιραγκαβάνου»· μεθ' ἣν ἕπονται: Λάμπρου Φωτιάδου τοῦ ἐξ Ἰωαννίνων: Ἀποσημειώματ' ἄττα ἐν τῇ τοῦ Εὐγενίου Λογικῇ.

1141.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατὰ τὸ αψπ' ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 251· Ἐπιγέγραπται: «Ἀμφοτέρα Λογικὴ ἐλάσσων καὶ μείζων περιπατητικὴ καὶ νεωτερικὴ παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου κυρίου Βικεντίου τοῦ Δαμωδοῦ ἐν φιλοσοφίᾳ καὶ ἱερᾷ θεολογίᾳ ἀμφοτέροις τοῖς νόμοις δαφνηφόρου».

1142.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, περὶ ἀρχομένην ἴσως τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 138. Ἔστιν ἀντίγραφον τοῦ προηγουμένου τεύχους.

1143.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, περὶ ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 158. Περιέχονται ἐν αὐτῷ α') Βικεντίου τοῦ Δαμωδοῦ: Ἐπιτομὴ Λογικῆς. — β') Σύνοψις τῆς ἠθικῆς φιλοσοφίας εἰς ἁπλῆν φράσιν ἐξηγοῦσα ἐπιμελῶς τὰ ἀναγκαῖα τῆς ἐπιστήμης ἐκείνης, παρὰ Βικεντίου τοῦ σοφωτάτου καὶ ἐκλαμπροτάτου ἐν φιλοσοφίᾳ καὶ ἱερᾷ θεολογίᾳ τοῦ Δαμωδοῦ, ἐκ πατρίδος Κεφαλληνίας. Εἰς αὐτὴν ἐπροστέθη καὶ ἡ Σύνοψις τῆς ἠθικῆς τοῦ Ἀριστοτέλους εἰς τὸ τέλος. αψλϛ' κατὰ μῆνα Δεκέμβριον. (Τὸ ἔτος τοῦτο ὑπῆρχεν, ὡς φαίνεται, σεσημασμένον ἐν τῷ ἐξ οὗ ἀντεγράφη παλαιοτέρῳ ἀντιγράφῳ). — γ') «Λόγος γενόμενος περὶ τοῦ καθαρτηρίου πυρὸς πρός τινα ἄρχοντα Κεφαλληνιώτην, ποιηθεὶς μετ' ἐπιμελείας ὑπὸ τοῦ σοφωτάτου Ἀνθίμου κυροῦ Βαλιάνου Κεφαλληνιώτου εἰς τὸ ἀφελεῖν παρ' αὐ-

τοῦ τὰ βέλη, δι' ὧν περ ὁ προῤῥηθεὶς τρωθεὶς ἐπλήγη ὑπὸ τῶν ἑτεροδοξούντων καὶ κακῶς φρονούντων φρατόρων».

1144.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 286, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Ἐπιγέγραπται: «Τοῦ σοφωτάτου Κορυδαλέως Προλεγόμενα ἐν τῷ Περὶ ψυχῆς βιβλίῳ Α'».

1145.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,31, πλάτ. 0,22, κατὰ τὸ 1683 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 358, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Ἐπιγέγραπται: «Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλέως εἰς τὴν φιλοσοφίαν Προδιοίκησις».

1146.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, περὶ ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 300. Περιέχει τοῦ αὐτοῦ Κορυδαλέως: Ἔκθεσιν συνοπτικὴν τῆς ὅλης συλλογιστικῆς πραγματείας.

1147.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλάτ. 0,17, κατὰ τὸ 1730 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 450. Περιέχει καὶ τοῦτο τοῦ αὐτοῦ Κορυδαλέως: Εἰς φιλοσοφίαν Προδιοίκησιν.

1148.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 158. Ἐπιγέγραπται: Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλέως τοῦ ὕστερον διὰ τοῦ θείου καὶ ἱεροῦ σχήματος Θεοδοσίου μετονομασθέντος Ἔκθεσις περὶ ἐπιστολικῶν τύπων. Ἐπὶ πλέον δὲ περιέχονται καὶ τὰ ἑξῆς: Τοῦ αὐτοῦ Ῥητορική.—Μῦθοι Ἀφθονίου σοφιστοῦ ἐκ τῶν προγυμνασμάτων.—Περὶ τοῦ τρόπου τοῦ ἐκγυμνάζειν συνοπτικῶς.—[Κορυδαλλέως;] Εἰς ἅπασαν τὴν Λογικὴν τοῦ Ἀριστοτέλους μέθοδον Προδιοίκησις εἴτε Εἰσαγωγή.

1149.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,12, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 47. Περιέχει καὶ τοῦτο τοῦ αὐτοῦ Κορυδαλέως: τοὺς Ἐπιστολικοὺς τύπους. Ἐν τέλει δ' αὐτοῦ εὕρηται ἡ σημείωσις ἥδε: «Τὸ παρὸν Ἐπιστολάριον διορθώθη παρ' ἐμοῦ Θεοδώρου τοῦ ἐκ Βλαχίας ἐν τῇ κατὰ Πάτμον σχολῇ σπουδάζοντος, τὸ δὲ κατὰ δύναμιν δεξάσθων εὐγνωμόνως οἱ ἐντυγχάνοντες, προστιθέναι κἀκεῖνοι τὸ σφίσιν εὑρεθὲν μὴ ἀπαξιοῦντες, μεμνημένοι τε τοῦ ποιήσαντος».

1150.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὸ 1745 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 369, ὧν τὰ ἐν μέσῳ ἐνενήκοντα καὶ πέντε εἰσὶν ἄγραφα. Ἔστι δὲ καὶ τοῦτο τοῦ αὐτοῦ Κορυδαλέως: Εἰς ἅπασαν τὴν Λογικὴν Πραγματείαν.

1151.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΗ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 200. Καὶ τοῦτο περιέχει τὴν αὐτὴν τῷ ἀνωτέρω Πραγματείαν.

1152.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, ἐν Βουκουρεστίῳ κατὰ τὸ 1767 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 186. Περιέχει τοῦ αὐτοῦ Κορυδαλέως: τὴν Περὶ ψυχῆς πραγματείαν. Ἐν τέλει δὲ αὐτῆς φέρεται ἡ σημείωσις ἥδε: «Γέγραπται μὲν ἡ περὶ ψυχῆς πραγματεία ἐν ἔτει σωτηρίῳ αψξζ′ κατὰ τὴν κε′ τοῦ Μαΐου διὰ χειρὸς ἐμοῦ Νεοφύτου ἱερομονάχου Καλούτζη ἐκκλησιάρχου τῆς ἐπισκοπῆς Κυθήρων, καὶ ἐν Βουκουρεστίῳ».

1153.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, γεγραμμένον καὶ τοῦτο ὑπὸ τοῦ ἀνωτέρω σημειωθέντος Καλούτζη κατὰ τὸ 1766 ἔτος, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 163. Περιέχει τοῦ αὐτοῦ Κορυδαλέως: Ὑπομνήματα συνοπτικὰ καὶ Ζητήματα εἰς τὴν Περὶ οὐρανοῦ πραγματείαν.

1154.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ 1767 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 98. Ἐπιγέγραπται: «Τοῦ σοφωτάτου διδασκάλου τῆς ἐν Κωνσταντινουπόλει Ἀκαδημίας τοῦ ἐκ Μιτυλήνης Δωροθέου: Εἰς ἅπασαν τὴν Κορυδαλέως φυσικὴν πραγματείαν». Εἶθ' οὕτως ἕπονται: Τεχνολογία τῆς μικρᾶς Λογικῆς τοῦ λογιωτάτου Σουγδουρῆ κατ' ἐρωταπόκρισιν καί: Θεωρίαι καὶ παρατηρήσεις γραμματικαὶ περὶ μορίων.

1155.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,19, γεγραμμένον ἐν Βιέννῃ κατὰ τὸ 1793 ἔτος, ὡς ἐν τῷ προμετωπιδίῳ φύλλῳ σημειοῦται, ἐκ φύλλων δὲ 251 συγκείμενον. Ἐπιγέγραπται: «Ἀθανασίου Ψαλλίδα Λογική, κατὰ νεωτέρους μὲν συντεθεῖσα, μεθόδῳ δὲ μαθηματικῇ ἐξυφανθεῖσα χάριν τῶν φιλομούσων Ἑλλήνων». Ἔχει δὲ ἐπὶ τῆς πινακίδος καὶ τὸ ἑξῆς ἡρωελεγεῖον ἐπίγραμμα:

Ἑλλὰς τλασίπον' εὔφραίνου ὁράουσα γόνους σοὺς
Δέλτους ποιεῦντας, ἅς ζυγὸς ὤλεσ' ἁδρός.

Ἔσωθεν δὲ τοῦ προμετωπιδίου φύλλου τὰ ἑξῆς:

Γρηγορίου ἱεροδιακόνου Παλιορίτου ἐπιγράμματα εἰς τὴν Λογικήν.
ὡς ἐκ τῆς βίβλου.

Τίπτ' ἔκθαμβος ἔει φράσιν θ' ὁράων μου ξεῖνε;
Τί γάρ; Εὐγενίου εἴμασιν, οὐκ ἐμέγε
Γεννήτωρ εἴλυξέ μευ, ἠὲ Ἀριστοτέλοιο.
Κεῖνοι πρὸς δόξαν, πρὸς δὲ τὸ κοινὸν ἐμός.

Ἕτερον.

Τίς τεός ἦρα τοκεὺς δέλτος ἐρατή; Ψαλίδας.
Τοῦ γόνος; Ἑλλήνων. Ποῖ τέκε; Γερμανίᾳ.
Τοῦ χάριν οὕτω; Φοιτητῶν καὶ σαφηνίας· ἡμῖν
Στρεπτέος σός ῥά πατήρ, μόχθοιο οἷο χάριν.

1156.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὸ 1837 ἔτος ἐν Θήρᾳ γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 75. Ἐπιγέγραπται: «Ἀθανασίου Ψαλίδα φιλοσοφία».

1157.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, γεγραμμένον ἐν Βιέννῃ κατὰ τὸ 1794 ἔτος, ἐκ φύλλων δὲ συγκείμενον 139. Ἐπιγέγραπται: «Τῆς Μεταφυσικῆς μέρος Γ', Πνευματολογία, ὑπὸ Ἀθανασίου Πέτρου Ψαλίδα τοῦ ἐξ Ἰωαννίνων».

1158.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,18, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 141. Ἐπιγέγραπται: «Εἰςαγωγὴ εἰς τὴν φιλοσοφίαν, Βιβλίον Α' περιέχον τὴν Μεταφυσικήν, ἐκ τῆς λατινίδος φωνῆς μεταφρασθεῖσα παρὰ τοῦ πανιερωτάτου Εὐγενίου τοῦ Βουλγάρεως ἀρχιεπισκόπου πρώην Ἀικατερινοσλαβίας». Ἔστι δὲ τὸ τεῦχος αὐτόγραφον τοῦ ἐπιφανοῦς ἀνδρός.

1159.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,16, ἐκ φύλλων συγκείμενον 235, οὗ ἐν τέλει φέρεται ἡ σημείωσις ἥδε: Τέλος τῆς Λογικῆς Πραγματείας Ἰωάννου Βαπτιστοῦ Ντουάμελ, μεταγλωττισθείσης παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου διδασκάλου Εὐγενίου Βουλγάρεως. Ἐγράφη παρὰ χειρὸς ἐμοῦ Θεοκλήτου μοναχοῦ αψμη' Δεκεμβρίου ε'.

1160.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,22, πλάτ. 0,17, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 138. Ἐν τούτῳ περιέχονται Εὐγενίου τοῦ Βουλγάρεως τὰ πονημάτια τάδε: α') Σχεδίασμα περὶ μουσικῆς (1).—β') Ἐπιστολὴ τῷ ἀρχιεπισκόπῳ Νικηφόρῳ Περὶ τοῦ ἐν τῷ τριςαγίῳ ὕμνῳ προεκφωνήματος πολλάκις: «Δύναμις» (2).—γ') Κύκλος ποιητικῶν ἀθυρματίων (εἰσὶν ἐν τῷ Κύκλῳ τούτῳ ἐπιγράμματα 181, ὧν τινα λατινιστί).—δ') Ἀναφορὰ αὐτοῦ πρὸς τὴν αὐτοκράτειραν Ἀικατερίναν (3), δι' ἧς ἐπιβάλλει αὐτῇ τὴν ἑλληνικὴν μετάφρασιν τῆς Εἰςηγήσεως περὶ τῆς ὀρθῆς ἀγωγῆς τῶν γαληνοτάτων πριγκήπων Ἀλεξάνδρου καὶ Κωνσταντίνου τῶν Παυλιδῶν·—καὶ ε') Δήλωσις περὶ Πέτρου τοῦ Κλερκίου τοῦ ὑποδιακόνου τῆς Ῥαθομαγηνσίας ἐκκλησίας τοῦ νεωστὶ ζητή-

(1) Ὅρα περὶ τούτου Παρνασ. τόμ. ΙΒ', σελ. 453.
(2) Ἐξέδωκεν αὐτὴν ὁ πατὴρ ἡμῶν ἐν τῷ αὐτῷ τόμ. σελ. 456—60.
(3) Καὶ ταύτην ἐξέδωκεν αὐτόθι σελ. 509—13.

σαντος τὴν μετὰ τῆς ὀρθοδόξου ἡμῶν Ἀνατολικῆς ἐκκλησίας κοινωνίαν καὶ ἕνωσιν(4). Πάντα δὲ ταῦτα τὰ πονημάτια, πλὴν τοῦ πρώτου, εἰσὶ τοῦ περικλεεστάτου ἀνδρὸς αὐτόγραφα.

1161.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατὰ τὴν ΙΗ΄ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 312. Ἐπιγέγραπται: «Στοιχεῖα τῆς μεταφυσικῆς ἐν τέσσαρσι βιβλίοις ἐπιτετμημένως καὶ εὐμεθόδως ἐκτιθέμενα». Ἔστι δὲ καὶ τοῦτο τοῦ ἀοιδίμου Εὐγενίου.

1162.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,12, γεγραμμένον ἐν Βουκουρεστίῳ κατὰ τὸ 1798 ἔτος, ἐκ φύλλων δὲ 189 συγκείμενον. Ἐπιγέγραπται: «Ἀντωνίου Γενουηνσίου Στοιχεῖα Μεταφυσικῆς».

1163.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, κατὰ τὴν ΙΗ΄ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 292. Ἐπιγέγραπται: «Νικολάου Κούρσουλα τοῦ Ζακυνθίου Ὑπόμνημα καὶ Ζητήματα εἰς τὸ Ἀριστοτέλους Περὶ οὐρανοῦ Α΄ καὶ Β΄ βιβλίον». Τούτῳ προσήρτηται καί: Ἐπιτομὴ εἰς τὴν Ἀριστοτέλους Διαλεκτικὴν πραγματείαν τοῦ αὐτοῦ. Δωρεὰ τοῦ μακαρίτου Π. Λάμπρου.

1164.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, κατὰ τὴν ΙΗ΄ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 278. Ἐπιγέγραπται: «Ὑπόμνημα καὶ Ζητήματα εἰς τὸ Δ΄ τῆς τοῦ Ἀριστοτέλους Φυσικῆς ἀκροάσεως». Ἔστι δὲ καὶ τοῦτο, ὡς ἔοικε, τοῦ αὐτοῦ Κούρσουλα.

1165.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατ' ἀρχομένην τὴν ΙΘ΄ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 94 συγκείμενον. Τὸ περιεχόμενον αὐτοῦ ἀνεπίγραφον ὂν πραγματεύεται περὶ διαλεκτικῆς.

1166.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,30, πλάτ. 0,21, κατὰ τὸ 1786 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῇ ἀρχῇ, ἐκ φύλλων δὲ συγκείμενον 117. Ἐπιγέγραπται: «Ἡ Θεολογία φιλοπονηθεῖσα ὑπὸ τοῦ σοφωτάτου κυρίου κυρίου Εὐγενίου τοῦ πρώην μὲν κατὰ τὴν Ἀθωνιάδα Ἀκαδημίαν σχολαρχήσαντος, ἔπειτα δὲ ἐπὶ τῆς ἐν Κωνσταντινουπόλει πατριαρχικῆς σχολῆς διδασκάλου τῶν ἐπιστημῶν καταστάντος καὶ ῥεφερενδαρίου τῆς Μ. Ἐκκλησίας προχειρισθέντος, τέως δὲ ἐπὶ τὴν ἀρτίως συστᾶσαν ἀρχιεπισκοπὴν Σλοβησίου καὶ Χερσῶνος πρώτου ἀρχιεπισκόπου προβιβασθέντος καὶ τοῖς ἐν τῇ κατὰ Πετρούπολιν αὐτοκρατορικῇ Ἀκαδημίᾳ τῶν ἐπιστημῶν τεταγμένης ἐναριθμηθῆναι καταξιωθέντος».

---

(4) Ἴδε καὶ ταύτην αὐτόθι σελ. 513—21.

Ἐν τέλει δ' αὐτοῦ φέρεται: Ἐπιστολὴ τοῦ αὐτοῦ σοφωτάτου κυροῦ Εὐγενίου πεμφθεῖσα εἰς Βιέννην πρός τινα, γεγραμμένη δὲ ἐκ Πετρουπόλεως μηνὸς Αὐγούστου 16 τῷ 1790 ἔτει.

1167.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,29, πλάτ. 0,21, ὑπὸ δύο διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 244. Ἐπιγέγραπται: «Μεταφυσικὴ Γεννουενσείου ἐκλεκτικοῦ ἀπὸ τῆς Λατινίδος παρὰ Εὐγενίου (τοῦ Βουλγάρεως), ἧς ἐν τέλει φέρεται ἡ ἑξῆς σημείωσις: «Εἴληφε τέλος διὰ χειρὸς ἐμοῦ Νεοφύτου Δούκα ἱερομονάχου ἐν Βουκουρεστίῳ κατὰ τὸ 1792 ἔτος τὸ σωτήριον Αὐγούστου 10». Εἶθ' οὕτω τέτακται: Φυσικὴ Ἰωάννου Φριδερίκου Βουκερέρ. Εἰσηγήσεων τῆς φυσιολογίας τὸ κατὰ γένος μέρος.

1168.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 180. Ἔστι δὲ καὶ τοῦτο: Φυσικὴ τοῦ ἀνωτέρω εἰρημένου Ἰωάννου Φριδερίκου Βουκερέρ.

1169.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,25, πλάτ. 0,17, ἐν Βουκουρεστίῳ τῆς Βλαχίας κατὰ τὸ 1766 ἔτος γεγραμμένον, ἐν τῇ αὐθεντικῇ σχολῇ, διὰ χειρὸς τοῦ καὶ ἐν τοῖς προηγουμένοις μνημονευθέντος Νεοφύτου τοῦ Καλούτζη, ἐκ φύλλων δὲ συγκείμενον 337. Ἔστι δὲ Θεοφίλου τοῦ Κορυδαλέως: Εἰς φιλοσοφίαν Προδιοίκησις.

1170.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, ἐν Κρήτῃ κατὰ τὸ ᾳχμ' ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 372. Ἐπιγέγραπται: «Εἰς ἅπασαν τὴν φυσικὴν πραγματείαν προοιμιακὰ Ζητήματα παρὰ Γερασίμου ἱερομονάχου Βλάχου τοῦ Κρητὸς ἐκτεθέντα».

1171.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, ἰδιοχείρως παρὰ τοῦ ἀοιδίμου Εὐγενίου τοῦ Βουλγάρεως γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 32 καὶ ἐπιγεγραμμένον: Τῷ θεοφιλεστάτῳ, σεβασμιωτάτῳ καὶ ἐλλογιμωτάτῳ ἐπισκόπῳ Καμπανίας κυρίῳ μοι κυρίῳ Θεοφίλῳ τίνα τὰ πάλαι καὶ νῦν περὶ τῶν παλλιρῥοιῶν φιλοσοφηθέντα ζητήσαντι, ὁ εὐπειθὴς καὶ ὑπήκοος υἱὸς ἐν Χριστῷ καὶ δοῦλος Ἐ. ἱερ. Β. Ἐν ὑποσημειώσει δὲ φέρονται ταῦτα: Τουτὶ τὸ σχεδίασμα ἐπέμφθη μὲν τῷ ζητήσαντι ἐπισκόπῳ Καμπανίας, αἰτηθὲν δ' ἔπειτα παρὰ τοῦ παναγιωτάτου κυρίου Θεσσαλονίκης ἐστάλη τῇ αὐτοῦ παναγιότητι, ὑφ' ἧς αἰτήσαντί μοι ἐδωρήθη τῷ γνησίῳ μαθητῇ τὸ τοῦ οἰκείου διδασκάλου σοφὸν καὶ τερπνὸν ἰδιόχειρον. Ἐν τέλει δὲ προςήρτηται καὶ ἡ πρὸς τὸν οἰκουμενικὸν πατριάρχην Κύριλλον Ἀπολογία τοῦ αὐτοῦ Εὐγενίου περὶ τῆς αναχωρήσεως αὐτοῦ ἀπὸ τῆς κατ' αὐτοῦ στασιασάσης Ἀθωνιάδος σχολῆς, δι' ἄλλης γεγραμμένη χειρός. Μία δὲ καὶ ἡμίσεια σελὶς τοῦ τελευταίου φύλλου ὑπάρχει ῥουμουνιστὶ γεγραμμένη.

1172.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΖ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 227. Ἐν τούτῳ περιέχονται ποικίλα τινά, ὧν προηγοῦνται Ἀφθονίου σοφιστοῦ: Τὰ Προγυμνάσματα· μεθ' ἃ ἕπονται: Ἐπιστολικοὶ τύποι ἐν γλώσσῃ κοινῇ.—Γυμνάσματα ῥητορικά.—Μακαρίου τοῦ Αἰγυπτίου ἐκ τοῦ κατὰ Λατίνων, ἤτοι τὰ Παραλειπόμενα ἐν τῷ Τόμῳ τῆς Καταλλαγῆς τοῦ Ἱεροσολύμων Δοσιθέου.—Ἀποσπάσματα ἀπὸ τῶν Βυζαντινῶν ἱστοριογράφων Κεδρηνοῦ, Μανασσῆ καὶ Γλυκᾶ, ὡς καὶ ἀπὸ τοῦ Κωδινοῦ.—Ἀπανθίσματα ἀπὸ τῶν Ἀριστοτέλους: Ἠθικῶν Νικομαχείων.—Ἐκ τῶν Ζητημάτων καὶ Ἀποριῶν καὶ Λύσεων τῶν εἰς τὰς Ἀριστοτέλους βίβλους Περὶ ψυχῆς.—Νικολάου Κεραμέως: Ὅτι ἡ ψυχὴ οὐκ ἔστι κρᾶσις ὡς ὑπέθετο Γαληνός—Περὶ ἐπωνυμίας πόλεων καὶ τόπων. Μικρὸν δὲ πρὸ τοῦ τέλους τοῦ τεύχους φέρονται οἱ ἑξῆς στίχοι:

Γεωργίου ἰατροῦ Χρυσοκόκκου.
Πονῶν, μογῶν ἄμετρα ταύτην τὴν βίβλον
Τέλει δέδωκα, τοῦ θεοῦ νενευκότος.
Γεννῶσι δόξαν τοῖς φιλοσοφοῦσιν οἱ πόνοι·
Τοῖς δ' αὖ ἀέργοις μῶμον ἡ ῥαθυμία.

1173.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, κατὰ τὴν ΙΖ′ ἑκατονταετηρίδα ὑπὸ διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 318. Καὶ ἐν τούτῳ περιέχονται ἀνωνύμως: Περὶ λογικῆς.—Περὶ Φιλοσοφίας.—Ψυχαγωγίαι εἰς τὴν περὶ γενέσεως καὶ φθορᾶς παράφρασιν Ἀλεξάνδρου τοῦ ἐξ Ἀπορρήτων.—Εἰς τὸ Περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους Συνοπτικαὶ ὑπομνήσεις.—Περὶ φυσικῆς ἀκροάσεως.—Θέματα ἁπλᾶ καὶ ἑλληνικά.—Ἡσιόδου: Ἔργα καὶ ἡμέραι ψυχαγωγικῶς ἡρμηνευμένα.—Λουκιανοῦ ἀποσπάσματα, καὶ ἄλλα τινὰ μικροῦ λόγου ἄξια.

1174.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, περὶ τὰ τέλη τῆς ΙΗ′ ἑκατονταετηρίδος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 124. Περιέχει: Νικηφόρου τοῦ Βλεμμίδου Ἐπιτομὴν λογικῆς.

1175.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, περὶ τελευτῶσαν τὴν ΙϚ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 166. Περιέχει Ἀνωνύμου: Ὑπόμνημα εἰς τὸ Δ′ καὶ Ε′ τῶν Περὶ φυσικῆς ἀκροάσεως βιβλίων.

1176.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, ἐν Κερκύρα κατὰ τὸ 1811 φιλοκάλως γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 82. Ἐν τῇ ἀρχῇ αὐτοῦ φέρονται ταῦτα: «Εἴδησις. Ἀναγινώσκοντας ἢ μᾶλλον εἰπεῖν, σπουδάζοντας τὸ θέαμα τῆς φύσεως εἰς Τυῤῥηνὴν διάλεκτον μετάφρασιν ἐκ τῆς γαλλικῆς, καὶ φθάνοντας εἰς τὸν ἕνατον νόμον, ὁ ὁποῖος περιγράφει τὸν ἄνθρωπον θεωρημένον εἰς τὸν ἑαυτόν του, ἐστοχάσθηκα νὰ κάμω

τὴν μετάφρασιν εἰς τὴν ἡμετέραν ἁπλῆν ῥωμαϊκὴν διάλεκτον πρὸς ὠφέλειαν τῶν μαθητῶν μου κτλ. Ὁ ταπεινὸς ἐν ἱερεῦσι Παναγῆς Φωκᾶς ὁ ἐκ Κεφαλληνίας».

1177.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὸ 1852 ἔτος ὑπὸ Ἀποστόλου Ἀ. Πετρῆ Κείου γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 87. Περιέχεται ἐν αὐτῷ ἀνωνύμως: Λογική, ἀρχομένη οὕτω: § 1. Λογικὴ εἶναι ἐπιστήμη ἐξετάζουσα τοὺς νόμους καὶ κανόνας τῆς νοήσεως, διότι ἡ δύναμις τῆς νοήσεως, ὡς πᾶσα ἄλλη δύναμις, ὄχι μόνον τῆς ψυχῆς ἀλλὰ καὶ πάντων τῶν ἐν τῷ ἐξωτερικῷ κόσμῳ πραγμάτων, ἀκολουθοῦσι νόμον εἰς τὰς ἐνεργείας των κτλ.

1178.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, ἐκ φύλλων συγκείμενον 64. Ἐπιγέγραπται: «Εἰς ἅπασαν τὴν Λογικὴν τοῦ Ἀριστοτέλους μέθοδον Προδιοίκησις ἤτοι Εἰσαγωγὴ συντεθεῖσα παρὰ Γεωργίου ἱερέως τοῦ Σουγδουρῆ τοῦ ἐξ Ἰωαννίνων». Καὶ ἐν μὲν τῷ δευτέρῳ φύλλῳ φέρεται ἡ σημείωσις ἥδε: «1731 αψλα' Αὐγούστου ἐσχάτῃ ἔ. π. ἠρξάμεθα λογικεύεσθαι, διδασκάλῳ κεχρημένοι κυρίῳ Ἰωάννῃ τῷ Καββαδίᾳ ἱεροδιδασκάλῳ»· ἐν δὲ τῷ τέλει: «Γέγραπται ἡ λογικὴ αὕτη μέθοδος πόνῳ τε καὶ μόχθῳ καὶ δρῶτι ἀπλέτῳ προςώπου, ἐσπούδακται παρ' ἐμοῦ Ἐλευθερίου τοῦ Βούλγαρι».

1179.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 94. Περιέχει: Θέματα κοινὰ καὶ ἑλληνικὰ καί τινα ἄλλα μικροῦ λόγου ἄξια.

1180.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,15, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 209 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει, ἐξ οὗ ἀπεσχίσθησαν φύλλα ἐννέα. Περιέχονται ἐν αὐτῷ: α') Ἑρμοῦ τοῦ Τριςμεγίστου: Πρὸς τὸν Ἀσκληπιὸν Λόγος καθολικός. — ϐ') Εἰς Ἰλιάδος Α Παράφρασις διὰ συνωνύμων. — γ') Θέματα κοινὰ καὶ ἑλληνικά, — καὶ δ') Συναγωγὴ λέξεων καὶ φράσεων ἀπὸ τῶν ἀρχαίων συνηρανισμένη συγγραφέων.

1181.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,25, πλάτ. 0,19, ἐν Βιέννῃ κατὰ τὸ 1794 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 112. Περιέχει: Πλουτάρχου Χαιρωνέως Λόγους τρεῖς, ἤτοι τὸν Περὶ εὐθυμίας, τὸν Περὶ δυςωπίας, (τούτοις παρέπεται καὶ παράφρασις αὐτῶν ἐν τῇ κοινῇ γλώσσῃ) καὶ τὸν Περὶ τοῦ ἀκούειν παραπεφρασμένον καὶ τοῦτον.

1182.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,15, πλάτ. 0,11, ἐκ φύλλων συγκείμενον 269. Ἐπιγέγραπται: «Σύνοψις φυσιολογικὴ περιέχουσα ὡς ἐν ἐπιτομῆς εἴδει πάντα ὅσα ἁρμόζει πρὸς τὴν φυσικὴν φιλοσοφίαν, δηλαδὴ τὰ ἀκροαματικά, τὰ περὶ κόσμου, περὶ οὐρανοῦ,

περὶ στοιχείων, περὶ μετεώρων, περὶ μινέρων καὶ μετάλλων καὶ περὶ ψυχῆς· ἐν δὲ τῷ τέλει προσετέθησαν καὶ τινὰ περὶ ζώων καὶ φυτῶν· ὀλίγα καὶ περὶ γεωγραφίας ἐκ διαφόρων βιβλίων συλλεχθέντα λατινικῶν τε καὶ ἑλληνικῶν. Ἐν Συμπηνίῳ, ἔτει 1709 μηνὶ Μαΐῳ 9. Συνεγράψατο ὁ ἐλάχιστος Ἰωάννης Ἀδάμη ὁ ἐξ Ἄρβαν», καὶ ἔστιν ἐπιμελῶς καὶ καλῶς γεγραμμένον. Εὕρηται δὲ περὶ τὸ τέλος αὐτοῦ καί: Τετραλογία διαλαμβάνουσα ὡς ἐπὶ τὸ πολὺ περὶ διαφόρων τεράτων καὶ παρασήμων μορφῶν ἀνθρωπίνων ὅπου ἀναφέρουσι πολλάκις οἵτε παλαιοὶ καὶ οἱ νεώτεροι ἱστοριογράφοι. Ἐν δὲ τοῖς τελευταίοις δυσὶ φύλλοις εὕρηνται 58 στίχοι λατινικοὶ ἀποτεινόμενοι: Ad Lectores amicos.

1183.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,17, πλάτ. 0,22, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 190. Περιέχει: α') Ἐκλογὴν Ἐπιγραμμάτων ἀπὸ τῆς Ἀνθολογίας, καὶ ἄλλα τινα.—β') Τοῦ σοφωτάτου Ψελλοῦ: Ἰάμβους εἰς ἀρετὰς καὶ κακίας.—γ') Θεοδώρου τοῦ Προδρόμου: Ἐπὶ ἀποδήμῳ τῇ φιλίᾳ.—δ') Γνώμας ἀπὸ ποιητῶν τε καὶ συγγραφέων.—ε') Περικοπὴν ἐκ τῆς τοῦ Μανασσῆ: Χρονικῆς Συνόψεως.—ς') Αἰνίγματα κατὰ τὴν ἑλληνικὴν διάλεκτον διὰ στίχων σοφώτατα πάνυ καὶ ὡραιότατα,—καὶ ζ') Varie poesie spiritose e galanti di deversi autori Italiani e Franzesi.

1184.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,16, πλάτ. 0,11, ἐν Βουκουρεστίῳ κατὰ τὸ 1781 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ 65 συγκείμενον. Ἐπιγέγραπται: «Παραινέσεις ἄρχοντός τινος Ὑπάτου τῶν φιλοσόφων τῆς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας καὶ μεγάλου παχαρνίκου Βλαχίας Μιχαὴλ Φωτεινοῦ τοῦ ἐκ Χίου, συντεθεῖσαι παρ' αὐτοῦ καὶ ἐκδοθεῖσαι πρὸς τὸν υἱὸν αὐτοῦ»· μεθ' ἃς ἕπεται: Ἐπιτάφιος εἰς τὸν Ῥιμνίκου Καισάριον, καί τινα ἄλλα ἥττονος λόγου ἄξια.

1185.

Τεῦχος ἐκ χάρτου κοινοῦ, μήκ. 0,24, πλάτ. 0,18, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 217 συγκείμενον. Περιέχονται ἐν αὐτῷ πᾶσαι αἱ Ἐπιστολαὶ Συνεσίου τοῦ Πτολεμαΐδος εἰς κοινὴν μετενηνεγμέναι φράσιν, ὧν ἐν τέλει φέρεται ἡ σημείωσις ἥδε: «Καὶ τό δε σύν τής ἀλις κιμοὺ τοῦ μέλετιου τοῦ κρητὸς ἐλάχηστου μαργούνιου».

1186.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,12, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 48, ἱκανῶν ἐν τῷ τέλει ἐκρυέντων. Περιέχει Λόγγου: τὰ Ποιμενικά, ἤτοι τὰ κατὰ Δάφνιν καὶ Χλόην.

1187.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ 1691 ἔτος ἐν Ἰωαννίνοις γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 151. Περιέχονται ἐν αὐτῷ: α') Περὶ ῥητορικῆς τέχνης σύντομος παράδοσις παρὰ Γερασίμου ἱερομονάχου Βλάχου τοῦ Κρητὸς τοῦ τῶν ἐπιστημῶν

ἐξηγητοῦ ἐκδοθεῖσα.—β') Εἰς ἅπασαν τὴν Λογικὴν τοῦ Ἀριστοτέλους μέθοδον Προδιοίκησις, ἤτοι Εἰσαγωγή, καὶ γ') Πρόκλου Σφαῖρα.

1188.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 132, ἀλλ' ἐλλιπὲς τοῦ τέλους. Περιέχει ἀνωνύμως: Τέχνην ῥητορικὴν ἐν γλώσσῃ κοινῇ.

1189.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὸ 1790 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ 232 συγκείμενον. Πραγματεύεται καὶ τοῦτο ἀνωνύμως Περὶ τέχνης ῥητορικῆς ἐν γλώσσῃ κοινῇ.

1190.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 173. Περιέχονται ἐν αὐτῷ: Σχόλια εἰς τὰ τοῦ Ἀφθονίου Προγυμνάσματα τῆς ῥητορικῆς, καὶ Ἑρμογένους: Τέχνη ῥητορική, περὶ τῶν στάσεων.

1191.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὸ αψπ' ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 203. Περιέχει καὶ τοῦτο: Τέχνην ῥητορικὴν ἀνωνύμως ἐν γλώσσῃ κοινῇ.

1192.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ 1702 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν ἐπιστολῇ τοῦ συγγραφέως πρὸς τὸν Λαρίσσης μητροπολίτην Παρθένιον, ἐκ φύλλων δὲ συγκείμενον 131. Ἐπιγέγραπται: «Λευχειμονοῦσα Ῥητορική εἴτουν Ἀφθονίου Προγυμνάσματα ἐκ τῆς Λατίνων ἀνθολογηθέντα φωνῆς καὶ ἐν ἑλληνικῇ διαλέκτῳ ὑποστρωθέντα σπουδῇ καὶ πόνῳ Ἀναστασίου Παπαβασιλοπούλου τοῦ ἐξ Ἰωαννίνων, ἐν τῇ κωμοπόλει Τυρνάβῳ τῆς Θετταλίας διατρίβοντος χάριν τῶν ὑπ' αὐτοῦ διδασκομένων πρωτοπείρων μαθητῶν». Προτάσσονται δ' αὐτῆς τὰ ἑξῆς δύο Ἐπιγράμματα Ἰακώβου ἱεροδιακόνου τοῦ Κυπρίου μαθητοῦ τῆς ἐν Τυρνάβῳ σχολῆς.

Πυκτίδα ῥητορικῆς ὁ λατινίδων ὀχετεύσας
 Ταύτην ἐκ λιβάδων ἔπλετ' Ἀναστάσιος,
Ἀμφοτέρης πάντως διαλέκτου δεξιὸς ἴδμων,
 Πλήρης τῶν [ἴσ. τε] σοφίης καὶ χαρίτων τρόφιμος.

—

Τοῦ αὐτοῦ ἕτερον κατ' ἐρωταπόκρισιν.
Τίς σε ἁλουργοφορεῖν θέτο ῥητορικὴ βαθύολβε,
 Τὴν πάρος οὐ τοῖον φᾶρος ἑασσαμένην;
Ἔξοχος ἐν λογίοις ἦν ἀνὴρ στόμα Καλλιόπης τε,
 Ἔρνος Ἰωαννίνων θεῖος Ἀναστάσιος·
Παίδων Ἑλλήνων χάριν αὐτὰρ ἑῶν γε μαθητῶν
 Πλεῖστα πονησάμενος τεῦχέ μ' ἁλουργοφορεῖν·
Οὐ τὸ πόλ' ἐν σοφίῃ ἄγαται κωμόπτολις ἄρτι
 Τύρναβος, ὡςαύτως πᾶσά τε Θετταλίη.
Σφῶν ἐν γυμνασίῳ σελαγίζοντος νεοδμήτῳ
 Μαρμαρυγαῖς ἀρετῶν πολυθημοσύνης.

Εἶθ' οὕτως ἕπεται ἐπιστολὴ προσφωνητικὴ τοῦ συγγραφέως: Τῷ πανιερωτάτῳ μητροπολίτῃ τῆς ἁγιωτάτης μητροπόλεως Λαρίσσης κυρίῳ κυρίῳ Παρθενίῳ ὑπερτίμῳ καὶ ἐξάρχῳ δευτέρας Θετταλίας καὶ πάσης Ἑλλάδος, γεγραμμένη τῷ αψϐ' Φεϐρουαρίου Ϛ', μεθ' ἣν αὖθις τὰ ἑξῆς δύο Ἐπιγράμματα:

Πρὸς τὸν αὐτὸν πανιερώτατον καὶ θεοπρόϐλητον
δεσπότην μητροπολίτην Λαρίσσης κύριον
Παρθένιον.

Νῦν Θεὸς ὑψιμέδων μέγα ὤπασε χάρμα Λαρίσσῃ
Ποιμένα νητρεκέως τῶν λογικῶν προβάτων,
Παρθένιον φιλόμουσον ἐν ἀρχιερῆσι φαεινὸν,
Ἤπιον, ἡδυεπῆ, εὐθύδικον, ζάθεον.
Ὅρ' ἤθη μεμαὼς μεταμεῖψαι τῶν ὑπὸ χεῖρα
Μούσας ἐγκαλέσαι καὶ σοφίης χάριτας
Μουσεῖον κατέπηξ' ἀνὰ Τύρναβον ἀξιέπαινον
Κᾶλλα ἄπειρα τέως θέσκελὰ ἔργα τελεῖ,
Ὧ καὶ Ἀναστάσιος τόδε πυκτίον ἤρ' ἀνέθηκε,
Φωνῆς ἐξ Ἰταλῶν ἀνθολογησάμενος·
Σῆμα μέγ' εὐλαβίης ἀνέρος ποτὶ ἀρχιερῆα
Ἔξοχα ὄνταξφίλον μουσοφόρων ἀνέρων.

Τῆς αὐτοῦ πανιερότητος ἐλάχιστος δοῦλος
καὶ μαθητὴς τῆς ἐν Τυρνάβῳ σχολῆς
Ἰάκωβος ἱεροδιάκονος ὁ Κύπριος.

—

Λαμπροφορεῖν σοφίης πάρος ὡς χάρισ' ἤρξατο Ἑλλὰς
Ἄρτι κομᾶν τε ῥόδοις ἰδμοσύνης τε ἴοις,
Τύρναβος ἠδὲ Λάρισσα μέγ' ἀβρύνεται ἐπὶ τοῖς δε
Τοῖς ἀρετῆς ἔργοις Παρθενίου βαθύνου·
Ὅς καλάμῳ θεΐκῆς χειρὸς ἄξια προὐκεχάρακτο
Ἑλλάδα ἡνιοχεῖν· Θετταλίην δ' ὁσίως.

ὁ αὐτός.

1193.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,17, ἐν Σμύρνῃ κατὰ τὸ 1786 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 113. Ἔστι καὶ τοῦτο: Ῥητορικὴ ἀνεπίγραφος.

1194.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 123. Περιέχει καὶ τοῦτο τὴν αὐτὴν τῷ ἀνωτέρῳ Ῥητορικὴν τέχνην μεθ' ἱκανῶν Σχολίων γεγραμμένων περὶ τὴν ᾤαν τοῦ τεύχους.

1195.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 159. Περιέχει καὶ τοῦτο: Τέχνην ῥητορικὴν ἀνωνύμως ἐν γλώσσῃ κοινῇ.

1196.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,19, κατὰ τὴν ΙΖ' ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 84 συγκείμενον. Ἐπιγέγραπται: «Σκιαγραφία», ἤτοι περιέχει διδασκαλίαν περὶ συνθέσεως ἐκκλησιαστικῶν λόγων ἠθικῶν τε καὶ πανηγυρικῶν.

1197.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,16, κατὰ τὴν ΙϚ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 193, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Ἐν τοῖς προτέροις ἑπτακαίδεκα φύλλοις περιέχεται μέρος τῶν ᾀσματικῶν Κανόνων τοῦ Κοσμᾶ καὶ Ἰωάννου εἰς τὰς δεσποτικὰς ἑορτάς, ἡρμηνευμένων. Εἶθ' οὕτως ἕπεται: Γλωσσάριον, μεθ' ὅ: Ἐτυμολογία τῶν τοῦ ἀλφαβήτου στοιχείων· εἶτα: Στίχοι κατανυκτικοὶ κατ' ἀλφάβητον τοῦ κυροῦ Συμεὼν τοῦ Λογοθέτου καὶ Μαγίστρου, καὶ μετ' αὐτούς: ἕτερον Μέλος κατὰ στοιχεῖον τοῦ σοφωτάτου Κυριακοῦ τοῦ Μαγίστρου. Ἐν δὲ τοῖς ἐκπεσοῦσι φύλλοις περιείχοντο: Χρησμοὶ θεολογίας τῶν πάλαι Ἑλλήνων σοφῶν περὶ τῆς ἐνσάρκου οἰκονομίας.

1198.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ, 0,17, κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 136. Περιέχει: Εὐκλείδου Εἰςαγωγὴν ἁρμονικήν.

1199.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, κατ' ἀρχομένην ἴσως τὴν ΙϚ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 144. Ἐπιγέγραπται: «Ζηνοβίου Ἐπιτομὴ τῶν Ταῤῥαίου καὶ Διδύμου Παροιμιῶν συντεθεῖσα κατὰ στοιχεῖον». Ἐν τῷ πρώτῳ φύλλῳ φέρεται ἡ σημείωσις ἥδε: Ταύτην ἀνέγνωσε Ναυλὼτ ὁ Κοιλαδεὺς ἔτει Χριστοῦ αφογ′. Ὁ δ' αὐτὸς προσέθηκε καὶ ἑτέραν σημείωσιν ἐν τῷ τελευταίῳ φύλλῳ τὸ αὐτὸ δηλοῦσαν.

1200.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,15, ἐκ φύλλων συγκείμενον 93. Περιέχει: Θεοφυλάκτου Σιμοκάττου ἀπὸ ἐπάρχων Οἰκουμενικῆς ἱστορίας βιβλία Η′· ὧν ἐν τέλει φέρεται ἡ σημείωσις ἥδε: «Ἀρσένιος ἐλαίῳ Θεοῦ ἐπίσκοπος Σάμου καὶ Ἰκαρίας εὐεργετῶ τὴν δέλτον ταύτην τῷ εὐλαβεστάτῳ χωρεπισκόπῳ Νεραντζίας (1) καὶ σακελλαρίῳ κυρίῳ Γεωργίῳ ἔτει ,ϚϡκϚ′ (+ 1414) Ἰνδικτ. ια′».

1201.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλάτ. 0,14, κατὰ τὴν ΙϚ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 118. Περιέχει: Συμεὼν Μαγίστρου τοῦ Σήθ τὸν Στεφανίτην καὶ Ἰχνηλάτην, Αἰσώπου Βίον καὶ Μύθους τινάς.

1202.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,25, πλάτ. 0,18, περὶ μεσοῦσαν τὴν ΙΗ′ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 324 συγκείμενον. Περιέχονται ἐν αὐτῷ: α′) Λόγοι ἐκκλησιαστικοί.—β′) Ἐπιστολὴ ἀπολογητικὴ Εὐγενίου τοῦ Βουλγάρεως πρὸς τὸν οἰκουμενικὸν πατριάρχην Κύριλλον.—γ′) Διδασκαλία χριστιανικὴ κατ' ἐρωταπόκρισιν.—

---

(1) Νεραντζία ἐκαλεῖτο ἐν τοῖς τότε χρόνοις ἡ πρωτεύουσα τῆς νήσου Κῶ. Καί μοι ὅρα τὰ περὶ αὐτῆς πλατύτερον σημειωθέντα τῷ πατρὶ ἡμῶν ἐν τῇ Πατμιακῇ Βιβλιοθήκῃ σελ. 45.

δ') Μάρκου τοῦ Εὐγενικοῦ μητροπολίτου Ἐφέσου: Εἰς τὸν βασιλέα Ἰωάννην Παλαιολόγον ἀπορήσαντα πρὸ τοῦ λατινισμοῦ. Ἐκ τῶν τῆς μονῆς τοῦ Βροντησίου.— ε') Ἀφθονίου: Προγυμνάσματα (φέρει τοιάνδε σημείωσιν: Βουκουρέστη 1766 Μαΐου 1 παρὰ τῷ σοφολογιωτάτῳ διδασκάλῳ Μανασσῆ).—ϛ') Ἑρμογένους: Στάσεις, ὧν ἐν τέλει ἀναγινώσκεται ἡ σημείωσις ἥδε: Αὐγούστου κϛ' ἐν Κουμπουλουγγίῳ τῆς Βλαχίας γέγραπται· τετέλεσται δὲ ἡ τῆς παρούσης ῥητορικῆς παράδοσις τὸ αψξϛ' κατὰ μῆνα Ὀκτώβριον τῇ η' ἐν Βουκουρεστίῳ τῆς Βλαχίας ἐν τῇ Ἀκαδημίᾳ τῆς αὐτῆς. Νεόφυτος ἱερομόναχος ἐκκλησιάρχης Καλούτζης».—ζ') Ἔκθεσις ῥητορικῶν τινων κανόνων ἱεροκήρυξι μάλιστα συμβαλλομένων, οὓς ἐκ τῆς λατινίδος εἰς τὴν Ἑλλάδα φωνὴν ἀπανθισάμενος προὔθηκε τοῖς φιλολόγοις. —η') Ἀλεξάνδρου τοῦ ἐξ Ἀπορρήτων: Σύνοψις τέχνης ῥητορικῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν,— καὶ θ') Ἐκ τῶν ἀποσημειωμάτων τῶν εἰς τὸ Δ' βιβλίον τῆς γραμματικῆς Θεοδώρου Γαζῆ φιλοπονηθέντων παρὰ κυρίου Γερασίμου τοῦ Βυζαντίου. (1)

1203.

Τεῦχος ἐκ διαφόρων τετραδίων χάρτου κοινοῦ ἀπαρτιζόμενον μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον καὶ ἐν συνόλῳ ἐξ 178 φύλλων συγκείμενον. Περιέχει: Λόγους τινὰς ἐκκλησιαστικοὺς καὶ Ὑποδείγματα περὶ συνθέσεως τοιούτων κατὰ τοὺς κανόνας τῆς ῥητορικῆς.

1204.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,35, πλάτ. 0,24, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 617. Ἐπιγέγραπται: «Στοιχεῖα τῆς Γενικῆς Ἱστορίας παλαιᾶς τε καὶ νεωτέρας, συντεθέντα μὲν γαλλιστὶ παρὰ ἀββᾶ Μιλλιώτου μεταφρασθέντα δὲ εἰς τὴν ἡμετέραν ὑπὸ ***» (ἀγνώστου τοῦ μεταφράσαντος). Κάτωθεν δὲ τῆς προκεφαλίδος ταύτης τοῦ βιβλίου φέρεται ἡ σημείωσις ἥδε: «Οἱ δύο πρῶτοι τόμοι τῶν Στοιχείων τῆς παρούσης μεταφράσεως τῆς Γενικῆς Ἱστορίας, μεταφρασθέντες εἰς τὴν ἡμετέραν διάλεκτον ὑπὸ Γρηγορίου ἱερομονάχου Κωνσταντᾶ τοῦ Μηλιώτου καὶ Ζήσου Κάβρα ἰατροῦ τοῦ ἐξ Ἀμπελακίων εἰς χρῆσιν τῶν ἑλληνικῶν σχολείων ἐξεδόθησαν ἐν Ἐνετίῃσιν παρὰ Πάρτῳ Θεοδοσίου ἔτει σωτηρίῳ 1806».

1205.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλάτ. 0,23, κατὰ τὴν ΙΖ' τελευτῶσαν ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 433, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει: Δωροθέου τοῦ Μονεμβασίας τὸν λεγόμενον Χρονογράφον, καταλήγοντα μέχρι τοῦ αφοα'· μεθ' ὃν ἕπεται: Βίος καὶ ποιήματα τοῦ Αἰσώπου

(1) Οὗτος διεδέξατο Μακάριον τὸν πάνυ ἐν τῷ τῆς Πάτμου ἑλληνικῷ Φροντιστηρίῳ. Ὅρα δὲ τὰ περὶ αὐτοῦ σημειωθέντα ὑπὸ τοῦ πατρὸς ἡμῶν ἐν Παρνασσῷ τόμ. ΙΓ', σελ. 559.

1206.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, ἐκ φύλλων 159 συγκείμενον. Ἐπιγέγραπται: «Ἱστορία τοῦ ΙΒ' Καρόλου βασιλέως Σβεκίας, ἐκ τῆς γαλλικῆς εἰς τὴν ἡμετέραν ἁπλῆν διάλεκτον μεταφρασθεῖσα παρὰ.... ἐν ἔτει σωτηρίῳ αψὴε'».

1207.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,14, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 95, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει: Κωνσταντίνου τοῦ Μανασσῆ τὴν Χρονικὴν Σύνοψιν ἀρχομένην ἐκ τοῦ στίχου 117 καὶ καταλήγουσαν εἰς στίχ. 6,621.

1208.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,25, πλάτ. 0,18, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 154. Περιέχει: Γεωργίου τοῦ μεγάλου Λογοθέτου τοῦ Φραντζῆ τὸ Χρονικόν. Ἐν τῷ 1ῳ καὶ 42ῳ φύλλῳ εὕρηνται δύο ἱστορικαὶ σημειώσεις γεγραμμέναι κατὰ τὸ 1820 περὶ τῶν προόδων καὶ τῶν κατακτήσεων, εἶτα δὲ καὶ τοῦ οἰκτροῦ τέλους τοῦ διαβοήτου Φαλάριδος τῆς Ἠπείρου Ἀλῆ πασᾶ τοῦ Τεπελενιώτου.

1209.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, ἐκ φύλλων συγκείμενον 158. Ἐπιγέγραπται: «Βιβλίον καλούμ. Ζοὴ τοῦ βασιλέου Φράνσας, ἧς τὸ ὠπῆον. βηβλῆον. ἐβρῆσκοντε. τηπομένα ἀπὸ τὸν γγκερον. τοῦ βασηλὲὸς. Κοσταντῆνου. καὶ ἄλονον πολον ρῆγαδον. προὴτζηπον κωντάκηδον. καὶ ἀρχόντον καὶ πρότοσπαθαρῆον τὴς Φράντζας. καὶ ἕος τὸν γγκερον. τοῦ κοντε. Ὠρλάντε. Ἀνγγκλὰντε. — Ἐκοπναρήςτη· ενοῦτο τὸ βηβλῆον. ὑποχηρὸς Παναγιώτου. Κόνταρη. 1775. — Κορφοῦς».

1210.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλάτ, 0,13, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 142, ἐλλιπὲς ὅμως ἐν τῷ τέλει. Περιέχει: Τὰ ὀκτὼ Βιβλία τῶν τῆς Μετὰ Μάρκον βασιλείας ἱστοριῶν τοῦ Ἡρωδιανοῦ, μετὰ σποραδικῶν σημειώσεων περὶ τὴν ᾤαν.

1211 — 1214.

Τὰ ἐκ χάρτου κοινοῦ τέσσαρα ταῦτα τεύχη, ἰσομεγέθη ὄντα, ἤτοι μήκ. 0,22, καὶ πλάτ. 0,17, ἀπαρτίζουσιν ἓν σύνταγμα, οὗ ὁ πρῶτος τόμος σύγκειται ἐκ φύλλων 165, ὁ δεύτερος ἐκ φύλλων 279, ὁ τρίτος ἐκ φύλλων 327 καὶ ὁ τέταρτος ἐκ φύλλων 122. Φέρουσι δὲ ἐπιγραφήν: «Ἀπόπειρα εἴτ' οὖν Δοκίμιον περὶ τῶν ἠθῶν καὶ νοὸς τῶν ἐθνῶν καὶ περὶ τῶν κυριωτέρων πράξεων τῆς ἱστορίας ἀπὸ τοῦ Καρόλου Μάγνου μέχρι τοῦ Λουδοβίκου ΙΓ' μεταφρασθεῖσα ἐκ τῆς γαλλικῆς

Δ

διαλέκτου εἰς τὴν ἡμετέραν ἁπλῆν παρὰ Ν. Κ. ΒΒ» [Νικολάου Καραζᾶ Βοεβόδα]. Γέγραπται δὲ περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα.

1215—1216.

Τὰ ἐκ χάρτου κοινοῦ δύο ταῦτα τεύχη μήκ. 0,27, πλάτ. 0,21, ὧν τὸ μὲν πρῶτον σύγκειται ἐκ φύλλων 327, τὸ δὲ δεύτερον ἐκ φύλλων 388, γεγραμμένα ὄντα μεταξὺ τοῦ ͵αωιγ'—ιδ', ὡς ἐνιαχοῦ φέρεται σεσημειωμένον, περιέχουσιν Ἀδήλου: Γενικὴν ἱστορίαν εἰς δύο μέρη διῃρημένην καὶ εἰς βιβλία ΙΘ', ἧς προτέτακται: Εἰςαγωγὴ περὶ τῆς μελέτης τῆς ἱστορίας. Ἔστι δὲ τὸ πόνημα, ὡς εἰκάζομεν, τινὸς τῶν τῆς ἐν Κωνσταντινουπόλει μεγάλης τοῦ Γένους Σχολῆς διδασκάλων.

1217.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 176, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς, ἑνὸς φύλλου ἐκπεσόντος. Περιέχει: Κωνσταντίνου τοῦ Μανασσῆ τὴν Χρονικὴν ἱστορίαν ἀρχομένην ἀπὸ τοῦ στίχου 39, ᾗ παρέπονται ἐν τέλει καί τινα περικεκομμένα καὶ ἀσυνάρτητα.

1218.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, ὑπὸ δύο χειρῶν, παλαιοτέρας καὶ νεωτέρας, γεγραμμένον, τῆς μὲν περὶ τὴν ΙΖ' ἀρχομένην ἑκατονταετηρίδα, τῆς δὲ κατ' ἀρχομένην τὴν ΙΘ', ἐκ φύλλων δὲ συγκείμενον 226, ὧν τὸ πρῶτον ἐξεῤῥύη. Περιέχει: Ἀθανασίου Σκληροῦ τοῦ Κρητὸς Θρῆνον ἐν ἰαμβείοις στίχοις ἐπὶ τῇ κατακτήσει τῆς ἑαυτοῦ πατρίδος ὑπὸ τῶν Τούρκων, ἀρχόμενον ἀπὸ τοῦ στίχου 48. Ἡ παλαιοτέρα γραφὴ τοῦ τεύχους φαίνεται ἰδιόχειρος τοῦ συγγραφέως. Ἐκδέδοται δὲ τὸ ποίημα τοῦτο ὑπὸ τοῦ Κ. Ν. Σάθα τῷ 1867 ἐν τόμῳ Β' τῶν Ἑλληνικῶν Ἀνεκδότων αὐτοῦ.

1219.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 161. Ἐπιγέγραπται: «Θέατρον Πολιτικὸν, εἰς τὸ ὁποῖον περιέχεται ἀκριβὴς συμβουλὴ τί πρέπει νὰ κάμῃ καὶ ἀπὸ τί νὰ ἀπέχῃ ὁ ἡγεμών». Περιέχει Η' μόνον κεφάλαια ἀντὶ τῶν Λ', ἐξ ὧν σύγκειται τὸ τύποις ἐκδεδομένον. Ἔστι δὲ τὸ ποίημα τοῦ ἡγεμόνος Νικολάου Μαυροκορδάτου υἱοῦ Ἀλεξάνδρου τοῦ ἐξ Ἀποῤῥήτων ἐκ τῆς Λατινίδος εἰς τὴν κοινὴν γλῶσσαν μετενεχθέν.

1220.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,32, πλάτ. 0,21, κατὰ τὸ ͵αψοϛ' ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 81. Ἐπιγέγραπται: «Πνευματικὸς Κανονισμὸς χάριτι καὶ οἰκτιρμοῖς τοῦ φιλανθρώπου θεοῦ σπουδῇ καὶ κελεύσει θεοσδότου καὶ θεοφωτίστου πανεκλαμπροτάτου, κραταιοτάτου κυρίου Πέτρου τοῦ Α' ἰμπεράτορος καὶ αὐτοκράτορος πασῶν τῶν Ῥωσσιῶν κτλ. κτλ. κτλ. ἐν τῇ ἁγίᾳ ὀρθοδόξῳ ῥωσσικῇ Ἐκκλησίᾳ συναινέσει τε καὶ προτροπῇ τοῦ παρ' ῥωσσικοῦ πνευματικοῦ τάγματος καὶ τῆς διοικούσης Συγκλήτου ἐν τῇ βασιλευούσῃ Πετρουπόλει, ἔτει τῆς τοῦ Χριστοῦ γεννήσεως ͵αψκα' μηνὶ Φεβρουαρίῳ ἡμέρα ιδ' συντεθεὶς, τανῦν δὲ προστάγματι τῆς εὐσεβεστάτης καὶ αὐτοκρατορικωτάτης μεγάλης κυρίας ἡμῶν ἰμπερατορίσσης Ἀικατερίνης Ἀλε-

ξιάδος πάσης Ῥωσσίας ἐπὶ τοῦ διαδόχου αὐτῆς εὐσεβοῦς κυρίου καισαρίδου καὶ μεγάλου δουκὸς Παύλου Πετρίδου, εὐλογίᾳ δὲ τῆς ἁγιωτάτης διοικούσης Συνόδου ἐξ ἑρμηνείας Εὐγενίου ἀρχιεπισκόπου Σλαβωνίας καὶ Χερσῶνος. Ἐτυπώθη τὸ ἕκτον ἐν τῇ βασιλευούσῃ μεγαλουπόλει Μόσχᾳ ἔτει ἀπὸ κτίσεως ,ζσξθ', ἀπὸ δὲ τῆς κατὰ σάρκα τοῦ Θεοῦ Λόγου γεννήσεως αψοα' ἰνδ. θ' μηνὶ Φεβρουαρίῳ. Ἑλληνιστὶ δὲ τυπωθήσεται ὅταν θεὸς θέλῃ». Ἔστι δὲ τὸ τεῦχος ἰδιόγραφον τοῦ ἀοιδίμου Εὐγενίου.

1221.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,16, κατὰ τὴν ΙΖ' ἀρχομένην ἑκατονταετηρίδα ὑπὸ δύο διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 195. Περιέχει: α') Ἐκ τῶν τοῦ Γεωργίου Κορεσσίου Χίου Διαφόρων Ζητημάτων καὶ Λύσεων, — καὶ β') Εἰς τὸ Α', Β' καὶ Γ' τῶν Μετεωρολογικῶν τοῦ Ἀριστοτέλους Σχολαστικὰ Ζητήματα, ἐκδοθέντα παρὰ Γερασίμου ἱερομονάχου Βλάχου τοῦ Κρητὸς, κήρυκος τοῦ ἱεροῦ Εὐαγγελίου καὶ κοινοῦ κατ' ἀμφοτέρας τὰς διαλέκτους τῶν ἐπιστημῶν διδασκάλου.

1222—1224.

Τὰ ἐκ χάρτου ῥωσσικοῦ τρία ταῦτα τεύχη, μήκ. 0,25, πλάτ. 0,20, ὧν τὸ μὲν πρῶτον σύγκειται ἐκ φύλλων 167, τὸ δὲ δεύτερον ἐξ 143 καὶ τὸ τρίτον ἐξ 145, ἀπαρτίζουσιν ἓν σύνταγμα. Εἰσὶ δὲ ἰδιοχείρως γεγραμμένα παρὰ τοῦ Ἰωάννου Σελιμίνσκη κατὰ τὸ 1835 ἔτος ἐν Ρους-δε-βέδε καὶ ἐν Πλουεστίῳ τῆς Βλαχίας καὶ φέρουσι καὶ τὰ τρία τὴν ἐπιγραφὴν ταύτην: «Καθολικὴ Ἠθικὴ ἢ καθήκοντα τοῦ ἀνθρώπου· συγγραφεῖσα μὲν παρὰ τοῦ κυρίου βαρώνου Ὄλβυ εἰς τὴν γαλλικὴν γλῶσσαν, μεταφρασθεῖσα δὲ εἰς τὸ ἑλληνικὸν ἰδίωμα παρὰ τοῦ Ἰ. Σελιμίνσκη».

1225.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,26, πλάτ. 0,20, γεγραμμένον καὶ τοῦτο ὑπὸ τοῦ αὐτοῦ Σελιμίνσκη ἐν Πετρουπόλει κατὰ τὸ 1839 ἔτος, ἐκ φύλλων δὲ συγκείμενον 213. Ἐπιγέγραπται: «Περὶ τοῦ πῶς δεῖ τὴν ἱστορίαν σπουδάζειν. Διατριβὴ συγγραφεῖσα μὲν παρὰ τοῦ ἀββᾶ Μαβλῆ εἰς τὸ γαλλικὸν, μεταφρασθεῖσα δὲ εἰς τὴν νῦν ἑλληνικὴν γλῶσσαν παρὰ Ι. Σελιμίνσκη». Εἶθ' οὕτως ἕπονται Διάλογοι δύο Περὶ τοῦ πῶς δεῖ συγγράφειν ἱστορίαν.

1226.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ καὶ κοινοῦ ἀναμὶξ μήκ. 0,25, πλάτ. 0.19, γεγραμμένον ἐν Φιλιππουπόλει κατὰ τὸ 1828 καὶ 1830 ἔτος ἐν Γαλάζῳ ὑπὸ τοῦ αὐτοῦ Σελιμίνσκη. Ἐπιγέγραπται: «Ἀριθμητικὴ συνταχθεῖσα μὲν ὑπὸ τοῦ κ. Φραγκύρου γαλλιστὶ, μεταφρασθεῖσα δὲ εἰς τὴν νῦν ἑλληνικὴν γλῶσσαν τῷ 1828 Σεπτεμβρίου 3 ἐν Φιλιππουπόλει τῆς Θρᾴκης ἐπὶ τῆς ἐκεῖ σχολαρχίας μου». Μετ' αὐτὴν δ' ἕπεται: Στοιχειώδης Ἄλγεβρα Βιβλίον Β, ἧς ἐν τέλει φέρεται ἡ σημείωσις ἥδε: Μετεφράσθη ἐν Βουκουρεστίῳ τὸ 1832 παρὰ Ἰ. Σελιμίνσκη· καὶ μετ' αὐτήν: Κεφάλαιον στοιχειῶδες περὶ τῆς ἑρμηνείας τῶν λογαρίθμων καὶ περὶ τῆς χρήσεως αὐτῶν εἰς δια-

φόρους χρήσεις τῶν λογισμῶν τῆς πρακτικῆς Γεωμετρίας, τῆς Ἀστρονομίας, τῆς Ναυτικῆς κτλ.

1227.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,25, πλάτ. 0,21, κατὰ τὸ 1829 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 216. Περιέχει: Λόγους διαφόρους ἐκφωνηθέντας ὑπὸ τοῦ ἀνωτέρω μνημονευθέντος Σελιμίνσκη ἐν τοῖς σχολείοις, ἐν οἷς κατὰ διαφόρους καιροὺς ἐδίδαξεν. Εἶθ' οὕτως ἕπονται τάδε: Νόμος φυσικὸς ἢ ἀρχαὶ τῆς φυσικῆς τῆς Ἠθικῆς ἐξ αὐτοῦ τοῦ ὀργανισμοῦ τοῦ ἀνθρώπου καὶ τοῦ παντὸς μεταφρασθεὶς ἐκ τῆς γαλλικῆς εἰς τὴν ἑλληνικὴν γλῶσσαν παρὰ Ι. [Σελιμίνσκη], μετὰ μακροῦ τοῦ μεταφραστοῦ προλόγου.—Λογικὴ ἢ σκέψεις ἐπὶ τῶν πρώτων ἐνεργειῶν τοῦ νοός.—Εἰσαγωγὴ εἰς τὴν ἐπιστολογραφίαν,—καὶ τελευταῖον: Ἔκθεσις συνοπτικὴ περὶ τοῦ ζωϊκοῦ μαγνητισμοῦ.

1228.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, γεγραμμένον κατὰ τὸ 1797 ἔτος, ἐκ φύλλων δὲ συγκείμενον 90. Ἐπιγέγραπται: «Τρόπαιον ἐκ τῆς Ἑλλαδικῆς Πανοπλίας κατὰ τῶν ὀπαδῶν τοῦ Κοπερνίκου ἐν τρισὶ διαλόγοις φιλοπονηθὲν παρὰ τοῦ διδασκάλου τῶν ἐπιστημῶν τῆς ἐν Κωνσταντινουπόλει πατριαρχικῆς σχολῆς Σεργίου Μακραίου». Ἐστι δὲ τοῦτο τὸ ἐν ἔτει αψϟϛ' τύποις ἐκδοθὲν ἄσοφον πόνημα τοῦ κομπορρήμονος τούτου διδασκάλου. Τούτῳ προσήρτηται καὶ Στεφάνου Κομμητᾶ: Πάρεργα ἢ κόσμου συντήρησις, ἐν διαλόγοις δυσί.

1229.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,17, συγχρόνως τῷ ἀνωτέρω γεγραμμένον, ἐκ φύλλων δὲ 46 συγκείμενον. Περιέχει καὶ τοῦτο τὸ αὐτό: Τρόπαιον τοῦ Μακραίου ἐν Διαλόγοις τέσσαρσιν.

1230.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,28, πλάτ. 0,20, ἐπιμελέστατα γεγραμμένον μετὰ τεχνικῶν κοσμημάτων ἐν τῇ ἀρχῇ ἑκάστου βιβλίου περὶ τὴν ΙΘ' ἀρχομένην ἑκατονταετηρίδα, ἐκ φύλλων δὲ συγκείμενον 145, πλὴν τῶν ἐν τέλει πινάκων 23 τὸν ἀριθμόν. Περιέχει: Ἀνωνύμου Γεωμετρίαν, ἧς προηγεῖται: Ἀφήγησις ἱστορικὴ περὶ ἀρχῆς καὶ προόδου τῶν μαθηματικῶν ἐπιστημῶν.

Ὡς ῥητὸν δ' ἔχει τὸ ἑξῆς:

Γεωμετρήσων εἰσίτω οὐ κωλύω·
Τῷ μὴ θέλοντι συζυγήσω τὰς θύρας.

Ἀντεγράφη δὲ ὑπὸ τοῦ σοφολογιωτάτου διδασκάλου κυρίου Ἱεροθέου ἱεροδιακόνου Σμυρναίου, ὡς φαίρεται ἄνωθεν τῆς ἀρχῆς σεσημειωμένον. Ἄγνωστος δὲ τυγχάνει οὗτος ἐν διδασκάλοις.

1231.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 120. Περιέχει: Ἐπιτομὴν τῶν Εὐκλείδου Στοιχείων.

1232.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 71. Περιέχει καὶ τοῦτο τὴν αὐτὴν Ἐπιτομὴν τῶν Εὐκλείδου Στοιχείων.

1233.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, ἐκ φύλλων συγκείμενον 39 μεθ' ἑπτὰ πινάκων. Ἐπιγέγραπται: «Γεωμετρία νέα τάξει τε καὶ μεθόδῳ λατινιστὶ συντεθεῖσα παρὰ κυρίου Ὀκταβιανοῦ Καμετίου, εἰς δὲ τὴν Ἑλλάδα μετενεχθεῖσα φωνὴν καὶ προςφωνηθεῖσά τῷ ἐξοχωτάτῳ ἐν ἰατροφιλοσόφοις κυρίῳ κυρίῳ Φιλίππῳ Γοβίῳ τῆς ὀθωμανικῆς αὐλῆς ἀρχιατρῷ περιβλέπτῳ παρὰ Δημητρίου Ῥαζῆ τοῦ ἐν ἰατροῖς ἐλαχίστου. —Ἐν Φιλιππουπόλει, ἐν ἔτει σωτηρίῳ αψϟδῳ Μουνυχιῶνος ε' μεσοῦντος». Ἔχει δὲ καὶ τὸ ἑξῆς ἐπίγραμμα:

Κτῆμα Ἀναστασίοιο τοδὶ τελέθει ἐρατόν μευ,
ἐμμὶ Γεωργίου, ὅς πρεσβυτέροις πάϊς
δεξιτερῇ ὃ ἐμὶν πορίσσεσκε, κλίσις τε καρήνου,
ὀσφύος εἰν ἄλγει ἠδ' ἑτέρων μελέων.

1234.

Τεῦχος ἐκ χάρτου καλοῦ μήκ. 0,22, πλάτ. 0,16, ἄριστα κεκαλλιγραφημένον ἐν Ἄνδρῳ κατὰ τὸ 1837 ἔτος, ἐκ φύλλων δὲ συγκείμενον 191, ὧν μεταξὺ τὰ 32 ἄγραφα. Περιέχει: τὴν Ἀριθμητικὴν τοῦ διδασκάλου Θεοφίλου Καΐρου.

1235.

Τεῦχος ἐκ χάρτου καλοῦ μήκ. 0,22, πλάτ. 0,18, ὑπὸ τῆς αὐτῆς τῷ ἀνωτέρω χειρὸς ἄριστα κεκαλλιγραφημένον, ἐκ φύλλων δὲ 159 συγκείμενον. Περιέχει: τοῦ αὐτοῦ διδασκάλου Καΐρου τὴν Στοιχειώδη Γεωμετρίαν.

1236.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 146 συγκείμενον. Ἐπιγέγραπται: «Φρειδερίκου Ὠφμάνου Ὅροι διαίτης ἐμμελοῦς, οἷς ἄν τις χρώμενος εὐμαρέστερόν τε τὴν περὶ τοὺς λόγους σπουδὴν ἀνύοι καὶ μακροβιώτερος ἔσοιτο». Μετὰ τοὺς Ὅρους τούτους εὕρηται: Διοκλέους Ἐπιστολὴ πρὸς τὸν βασιλέα Ἀντίγονον. Εἶθ' οὕτως ἕπονται Ἀνωνύμου: Στοιχεῖα τῆς Ἀριθμητικῆς.

1237.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 114. Περιέχει τὰ αὐτὰ τοῦ ἀνωτέρω Ἀνωνύμου Στοιχεῖα τῆς Ἀριθμητικῆς.

1238.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, περὶ τὴν ΙΗ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 136. Ἐπιγέγραπται: «Νικομάχου Γερασηνοῦ ἀριθμητικῆς Εἰςαγωγῆς τῶν εἰς δύο τὸ Α', ὅπερ ἐξηγεῖται ὁ φιλόσοφος Πρόκλος.

1239.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,23, πλάτ. 0,19, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 112. Περιέχει: Ἀνωνύμου Ἀριθμητικὴν καί: Ἐπιτομὴν τῶν Εὐκλείδου Στοιχείων.

1240.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,14, ἐκ φύλλων συγκείμενον 80. Περιέχει: Ἀριθμητικὴν, ἀρχομένην ἐκ τοῦ κεφαλαίου Ζ', § 146 Περὶ δεκαδικῶν κλασμάτων. Πρόδηλον οὖν ὅτι προηγεῖτο τούτου ἕτερον τεῦχος περιλαμβάνον τὰ λείποντα ἓξ κεφάλαια. Εἶθ' οὕτως ἕπονται: Στοιχεῖα Ἀλγέβρας τοῦ Μετζμπούργου διδασκάλου τῆς μαθηματικῆς ἐν Βιέννῃ, μεταφρασθέντα ἐκ τῆς λατινίδος εἰς τὴν ἡμετέραν ὑπὸ Ἀθανασίου Πέτρου Ψαλίδα τοῦ ἐξ Ἰωαννίνων, μεθ' ἅ: Περὶ ἀναλύσεως προβλημάτων βαθμοῦ ὡρισμένου δευτέρου. Ἐν τέλει δὲ τῆς Ἀλγέβρας εὕρηται ἡ ἑξῆς σημείωσις: «Finis factus est anno 1799 Septembrii 4 per manum Dionysii, cujus et possessio est.—Est autem transita a latina lingua in graecam a Domino magistro nostro Athanasio Psalida, et ex codem tradita et explicata nobis».

1241.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, ἐν Χίῳ κατὰ τὸ ͵αψϟθ' ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ φύλλῳ 24, ἐκ φύλλων δὲ συγκείμενον 150, συμπεριλαμβανομένων καὶ τῶν πινάκων. Περιέχονται ἐν αὐτῷ: α') Θεωρήματα ἐκ τῶν τοῦ Ἀρχιμήδους, ἐκ τῆς λατινίδος φωνῆς μεταφρασθέντα ὑπὸ Δωροθέου Πρωΐου Χίου. — β') Σύγγραμμα ἀναλυτικὸν τοῦ ἀββᾶ Καΐλου Περὶ τῶν κωνικῶν τομῶν ἐκ τῆς λατινίδος μεταφρασθέν. — γ') Περὶ τῶν ἀορίστων προβλημάτων τοῦ πρώτου βαθμοῦ. — δ') Μέθοδοί τινες ἀλγεβραϊκαὶ, — καὶ ε') Τρόποι διάφοροι τῶν ἀριθμητικῶν πράξεων. Ἐν τῷ πρώτῳ φύλλῳ φέρεται ἡ σημείωσις ἥδε: Ἐκ τῶν τοῦ Νικολάου Δημητριάδου Χορτάκη Σμυρναίου μαθητοῦ τοῦ κατὰ τὴν Σμύρνην φιλολογικοῦ Γυμνασίου. Ἀντεγράφη ὑπὸ διδασκάλου Ἱεροθέου ἱεροδιακόνου Σμυρναίου.

1242.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,22, πλάτ. 0,18, κατὰ τὸ ͵αψξε' ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ 267 συγκείμενον. Ἐπιγέγραπται: «Στοιχεῖα τῆς ἀναλύσεως» καὶ ἔστιν ἰδιόγραφον τοῦ ἀοιδίμου Εὐγενίου τοῦ Βουλγάρεως.

1243.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,23, πλάτ. 0,18, κατὰ τὸ 1806 ἔτος γεγραμμένον ἐν Πετρουπόλει, προσφωνούμενον δὲ τοῖς φιλογενεστάτοις κυρίοις Ζωσιμάδαις καὶ ἀπαξάπασι τοῖς λοιποῖς φιλομαθεστάτοις Ἰωαννίταις, ἐκ φύλλων δὲ συγκείμενον 139. Ἐπιγέγραπται: «Σφαιρικὴ Γεωμετρία Γραικοῦ Χριστοφόρου Κουταλέως τοῦ ἐκ τῆς ἐν Βοιωτίᾳ Λιβαδίας, παιδευθέντος ἐν τῷ εὐγενικῷ θαλασσινῷ τῷ ἐν Πετρουπόλει ῥωσσικῷ Σχολείῳ, νῦν δὲ διδάσκοντος ἐν Πε-

τρουπόλει τὰ μαθηματικὰ καὶ τὴν γραικορρωσικὴν διάλεκτον».

1244.

